AESCHYLI

CHOEPHOROE

EDIDIT

MARTIN L. WEST



STVTGARDIAE IN AEDIBVS B.G.TEVBNERI MCMXCI

Die Deutsche Bibliothek – CIP-Einheitsaufnahme

Aeschylus:
[Choephori]
Aeschyli Choephori / ed. Martin L. West. – Stutgardiae :
Teubner, 1991
(Bibliotheca scriptorum Graecorum et Romanorum Teubneriana)
ISBN 3-519-01016-X
NE: West, Martin L. [Hrsg.]

Das Werk einschließlich aller seiner Teile ist urheberrechtlich geschützt. Jede Verwertung außerhalb der engen Grenzen des Urheberrechtsgesetzes ist ohne Zustimmung des Verlages unzulässig und strafbar. Das gilt besonders für Vervielfältigungen, Übersetzungen, Mikroverfilmungen und die Einspeicherung und Verarbeitung in elektronischen Systemen.

© B. G. Teubner Stuttgart 1991


Printed in Germany

Gesamtherstellung: Passavia Druckerei GmbH Passau

PRAEFATIO

De codicibus Orestiae et Supplicum

In Agamemnonis textu constituendo quinque libris nitimur, M V G T F. Sed soli T F totam fabulam conservant, ceteri minus dimidio. Stemma est hoc:



M est liber longe vetustissimus atque optimus, Laur. 32.9 (saec. x); nec tamen semper lectionem meliorem praebet, sed omnia sunt acri iudicio perpendenda. Adsidue correctus est ab eo qui scholia adscripsit (M^s); sollers fuit homo, qui lectiones ex scholiis extrahere quibat, hic illic coniecturas suas adiecit, verum nonnumquam lectionem meliorem oblitteravit.

τ est exemplar deperditum, quod Demetrius Triclinius ca. 1315–20 emendationibus quibusdam scholiisque metricis exornavit; idem postea codicem T conscripsit novisque

emendationibus textum immutavit. Quicquid igitur consentientes GTF vel GF vel TF offerunt, quaerendum est utrum primitus in codice τ e traditione fuerit, an inter priora Triclinii emendamenta numerandum sit.

In Eumenisin pariter res se habet, sed abest V, familiae τ accedit liber quartus recentior E. In Choephoris autem, ut in Supplicibus, exstat M solus cum apographis suis, quae infra recensentur.

Virorum doctorum nominibus in apparatu adhaerent plerumque numeri qui ad opera paginasque referant: clavem reperies in indice criticorum qui in editione maiore pp. LVII–LXXIX prostat, in hac minore autem propter amplitudinem non recipi potest.

INDEX SIGLORVM

LIBRI PRIMARII

Π_5 Pap. Oxy. 2178, saec. ii: Ag. 7–17, 20–30
M Laur. 32.9, saec. x: Ag. 1–310, 1067–1159, Cho., Eum.
V Marc. gr. 468 (653), ca. 1270: Ag. 1–348
τ G Marc. gr. 616 (663), ca. 1321: Ag. 1–45, 1095–fin., Eum.
T Neapol. II F 31, ca. 1325: Ag., Eum.
F Laur. 31.8, ca. 1335–1348: Ag., Eum.
E Salmantic. Bibl. Univ. 233, ca. 1450–1470: Eum.

CODICIS M APOGRAPHA

Ma Laur. S. Marco 222, saec. xiv in.
Mb Bonon. Bibl. Univ. 2271, saec. xv
Mc Guelferbytanus Gud. gr. 4° 88, ca. 1495
Md Scorial. T. I. 15, ca. 1540
Me Par. gr. 2886, ca. 1518–1521
Mf Monac. gr. 546, saec. xvi

SIGLA CETERA

Ω	lectio omnium codicum vel utique archetypi
Σ	scholium vetus (Σ^{λ} scholii lemma; Σ_{I} scholium in cod. I)
Σ*	scholium incertae aetatis
Φ	commentarius paraphrasticus in triadem, saec. fere xii
Θ	Thomae Magistri textus
T^{σ}	Triclinius in scholio suo
A^{1}, A^{2}	A a prima /ab altera manu correctus
A^{a}, A^{c}	A ante/post correctionem
$A^{a?}$, A^{a}?	A, fort. a.c./fort. A a.c.
A^{a2}, A^{as}	A ante correctionem ab altera manu/a scholiorum scriba factam
$A^{\times}$	A ante vel post correctionem (incertum utrum)
A^{gl}	glossema in A, vel lectio quasi glossema adscripta
$A^{\gamma\varrho}$	varia lectio cum γϱ. in A adscripta
A^{mg}	A in margine
A^{r}	A in rasura
A^{s}	A tum correctus cum scholia addita sunt
A^{ss}	lectio in A super lineam scripta
A^{t}	A in textu, altera lectione inter lineas vel in margine adscripta
A^{uv}	A ut videtur
A+	A cum alio quodam codice (vel plus uno) qui saepe ab eodem hyparchetypo pendet (cf. pp. VIII sqq.)
‖‖	littera erasa
*	littera obscura
ạ	littera quae α videtur esse
[ ]	textus periit
⌊ ⌋	papyrus periit

⟦ ⟧	delevit scriba
{ }	delenda censeo
⟨ ⟩	inserenda censeo
⟨XO.⟩	nec personae nota nec paragraphus est in cod(d).
† †	corruptela non sanata
|	finis versus vel lineae
ci.	coniecit, coniectura
ss.	suprascripsit, cum suprascripto
u. v.	ut videtur

VIRORVM DOCTORVM NOMINA BREVIATA

Asul(anus)	Dind(orf, W.)	Tricl(inius)
Aur(atus)	Rob(ortello)	Turn(ebus)
Blomf(ield)	Scal(iger)	Vict(orius)
Casaub(onus)	Steph(anus)	Wil(amowitz)

ΧΟΗΦΟΡΟΙ

ΟΡΕΣΤΗΣ

Ἑρμῆ χθόνιε, πατρῷι' ἐποπτεύων κράτη, (fr. 1)
σωτὴρ γενοῦ μοι ξύμμαχός τ' αἰτουμένωι·
ἥκω γὰρ εἰς γῆν τήνδε καὶ κατέρχομαι
. . . .
3a (θέλων τιμωρῆσαι τῶι πατρί) (fr. 2)
. . . .
b . . βιαίως ἐκ γυναικείας χερός (fr. 3)
c δόλοις λαθραίοις . . ἀπώλετο
. . . .

1–3 Ar. Ran. 1126–8 = 1138 + 1152–3, 1156 **3a** sch. Ar. Ran. 1127 **3b–c** Ar. Ran. 1141–3

Cod. M cum apographis

Prologi pars maior cum argumento fabulae personarumque catalogo periit. Fragmenta 1 et 4 attulit Canter, 2 et 6 West, 3 Hermann, 5 Stanley[1], 7 Dind.[3]; de fragmentorum ordine conexione suppletione v. West[5] 2 ξύμμ- Ran. 1152 cod U: σύμμ- cett. 3 post h.v. suppleas e.g. ⟨'Αργεῖον οὖδας χρόνιος ἐκ φυγῆς, ὅπως | πατρὸς γένωμαι ξὺν θεοῖς τιμάορος, | ὃς δὴ⟩ βιαίως κτλ. **3b,c** cf. Blass[8] 76 ⟨δυσκλεής τ'⟩ ἀπώλετο Thiersch[1] 26 post h.v. intellige 'tu igitur, Mercuri, precor, permitte ut is mihi ex Orco oboediat atque adsit'

τύμβου δ' ἐπ' ὄχθωι τῶιδε κηρύσσω πατρί (fr. 4)
κλυεῖν, ἀκοῦσαι . . . .
. . . .
. . πλόκαμον Ἰνάχωι θρεπτήριον, (fr. 5)
τὸν δεύτερον δὲ τόνδε πενθητήριον
. . . .
7a . . . . . ⟨ἐν κραταιλέωι πέδωι⟩ (fr. 6)
. . . .
οὐ γὰρ παρ⟨ὼν⟩ ᾤμωξα σὸν πάτερ μόρον, (fr. 7)
οὐδ' ἐξέτεινα χεῖρ' ἐπ' ἐκφορᾶι νεκροῦ
. . . .
τί χρῆμα λεύσσω; τίς ποθ' ἥδ' ὁμήγυρις
στείχει γυναικῶν φάρεσιν μελαγχίμοις
πρέπουσα; ποίαι ξυμφορᾶι προσεικάσω;
πότερα δόμοισι πῆμα προσκυρεῖ νέον,
ἢ πατρὶ τὠμῶι τάσδ' ἐπεικάσας τύχω
χοὰς φερούσαις νερτέροις μειλίγματα;
οὐδέν ποτ' ἄλλο· καὶ γὰρ Ἠλέκτραν δοκῶ
στείχειν ἀδελφὴν τὴν ἐμὴν πένθει λυγρῶι
πρέπουσαν. ὦ Ζεῦ, δός με τείσασθαι μόρον

4–5 Ar. Ran. 1172–3   6–7 sch. Pind. P. 4.145, cf. Eu. 165.6   7a Eur. El. 534   8–9 sch. Eur. Alc. 768   10 cf. Hsch. (Cyr.) ο 702, Synag. Ba. 317.12   11 (μελαγχ.) Eu. 1254.25   13 (προσκυρεῖ) Hsch. (Cyr.) π 3833

---

5 κλύειν codd.: corr. Wil.[19]   6 fere ⟨καὶ τὸν μὲν ἄρτι, γῆς ὑπερβαλὼν ὅρους, | ἔδωκα⟩ πλόκαμον (ita ex parte Tucker[3]) post 7 fort. ⟨τίθημι γαίας ἐν κραταιλέωι πέδωι⟩   de v. 7a v. BICS 27, 1980, 20 sq.   8 παρῴμωξα cod.: corr. Dind.[3] 1123   **10 incipit M**   ante h. v. ⟨ἔα·⟩ suppl. Dind. l. c.   15 φερούσαις Lobel[3]: -σας M   μειλίγμασιν M: corr. Casaub.[1]   17 τήνδ' Blomf.[13]   18 τίσασθαι M: corr. Kirchhoff[2]

πατρός, γενοῦ δὲ ξύμμαχος θέλων ἐμοί.
Πυλάδη, σταθῶμεν ἐκποδών, ὡς ἂν σαφῶς
μάθω γυναικῶν ἥτις ἥδε προστροπή.

⟨ΧΟΡΟΣ⟩

ἰαλτὸς ἐκ δόμων ἔβαν str. 1
χοὰς προπομπὸς ὀξύχειρι σὺν κόπωι·
πρέπει παρῆις φοίνισσ' ἀμυγμοῖς
ὄνυχος ἄλοκι νεοτόμωι
(δι' αἰῶνος δ' ἰυγμοῖσι βόσκεται κέαρ),
λινοφθόροι δ' ὑφασμάτων
λακίδες ἔφλαδον ὑπ' ἄλγεσιν,
πρόστερνοι στολμοὶ πέπ'λων ἀγελάστοις
ξυμφοραῖς πεπληγμένων.

τορὸς γὰρ {Φοῖβος} ὀρθόθριξ δόμων ant. 1
ὀνειρόμαντις, ἐξ ὕπνου κότον πνέων,
ἀωρόνυκτον ἀμβόαμα
μυχόθεν ἔλακε περὶ φόβωι,

27–8 Et. G. = M. 403.48; (λακίδες) cf. Hsch. (Cyr.) λ 200

19 τε Blaydes[2] ξύμμαχος (2 v. l.) Porson[1]: σύμ- M 22 ἔβαν Dind.[4]: ἔβην M[uv] 23 χοᾶν Casaub.[1] προπομποῦσ' Lobel[1] κόπωι Casaub.[1], anon.[3]: κύπτωι M (ἀντὶ κοπετῶι Σ): κτύπωι (cf. 427) D'Arnaud 236 24 παρηΐς φοινίοις Stanley[1] (cf. ad 32) 26 διοιγμοῖσι M: corr. Canter 29 προστέλνοι M[a], πρόσστερνοι ΣM[s]: corr. Turn.: προστέρνου στολμοῦ Hartung: -ωι -ῶι Blass[8] 31 πεπλαγ- Tucker[3] -μένοι Wil.[19] (nol. Verrall[8]) 32 φοῖβος M: φόβος Σ (ubi Φοῖβος Papageorgios): del. Blass[5]: τορὸς φόβος γὰρ D'Arnaud 237: ὀρθ. φόβος δόμων (cf. 929. Prom. 181) Pauw 35 ἔλακε ΣM[s]: ἔλαχε M[t]: ἔλασε Heyse (cf. 39 et ad 939)

γυναικείοισιν ἐν δώμασιν βαρὺς πίτνων,
κριταὶ ⟨δὲ⟩ τῶνδ' ὀνειράτων
θεόθεν ἔλακον ὑπέγγυοι
μέμφεσθαι τοὺς γᾶς νέρθεν περιθύμως
τοῖς κτανοῦσί τ' ἐγκοτεῖν.

τοιάνδε χάριν ἀχάρι⟨το⟩ν, ἀπότροπον κακῶν, str. 2
ἰὼ Γαῖα μαῖα, μωμένα μ' ἰ⟨ά⟩λλει
  δύσθεος γυνά (φοβοῦμαι δ' ἔπος τόδ' ἐκβαλεῖν)·
τί γὰρ λύτρον πεσόντος αἵματος πέδοι;
ἰὼ πάνοιζυς ἑστία,
ἰὼ κατασκαφαὶ δόμων.
ἀνάλιοι βροτοστυγεῖς
δνόφοι καλύπτουσι δόμους
δεσποτᾶν θανάτοισι.

σέβας δ' ἄμαχον ἀδάματον ἀπόλεμον τὸ πρὶν ant. 2
δι' ὤτων φρενός τε δαμίας περαῖνον
  νῦν ἀφίσταται, φοβεῖται δέ τις. τὸ δ' εὐτυχεῖν,
τόδ' ἐν βροτοῖς θεός τε καὶ θεοῦ πλέον·

50 Tim. Pers. 178, Favor. π. φυγῆς P.Vat.Gr. 11 ix 42 (386.19 Barig.)

---

36 γυναικίοισιν M: corr. Vict.   πιτνῶν M: corr. Blomf.[13] ex Elmsleii praecepto   37 ⟨δὲ⟩ Portus[1]: ⟨τε⟩ Porson[1]   38 ἔλαχον M: corr. Turn.   42 τοιῶνδε Schütz[2]   ἀχάριτον Elmsley[7] ad O.C. 836: ἄχαριν (Ag. 1545) M   45 μιλλεῖ M: corr. cod. Sambuci   47 ἐκβάλλειν Σ M: corr. Jacob   48 λυγρὸν M: corr. Canter   πέδοι Dind.[4] ad Prom. 749: πέδωι M   51 ἀνήλιοι M: corr. Tucker[3] (cf. Sept. 859): ἀνηλίους Pauw ex Σ οὓς οὐδὲ ἥλιος ἐπίδοι διὰ τὸ Ἀγαμέμνονος μύσος   53 δεσποτᾶν (cf. 82) Blomf. ad 76: -τῶν M   54 ἀδάμαντον M: corr. Hermann[3] 57   56 φρένες M: corr. Vict.   57 τετραῖνον (452) Heyse   58 μ supra ἀφ- (sc. ἀμφ.) M[s]   60 βροτοῖσι M: corr. Asul.

ῥοπὰ δ' ἐπισκοτεῖ δίκας
ταχεῖα τοῖς μὲν ἐν φάει,
τὰ δ' ἐν μεταιχμίωι σκότου
μένει χρονίζοντα {ἄχη} βρύει⟨ν⟩,
τοὺς δ' ἄκραντος ἔχει νύξ.

τὰ δ' αἵματ' ἐκποθέν⟨θ⟩' ὑπὸ Χθονὸς τροφοῦ, str. 3
τίτας φόνος πέπηγεν οὐ διαρρύδαν·
αἰανὴς ⟨δ'⟩ ἄτα
  διαφέρει τὸν αἴτιον
  ⟨καὶ⟩ παναρκέτας νόσος. {βρύειν
τοὺς δ' ἄκραντος ἔχει νύξ}

θιγόντι δ' οὔτι νυμφικῶν ἑδωλίων ant. 3
ἄκος, πόροι τε πάντες ἐκ μιᾶς ὁδοῦ

72 cf. Hsch. π 3046

---

61 ῥοπὴ M: corr. Bamberger[2] 562/60 ἐπισκοτεῖ O. Müller[4] 22: ἐπισκοπεῖ Σ M: ἐπισκήπτει Musgrave δίκας Turn. ex Σ: δίκαν M 62 τοὺς Turn.: τοὺς μὲν ἐπισκοπεῖ reddit Σ, unde glossator (τοῖς μὲν) ἀντὶ τοὺς μὲν 63 τοῖς δ' Stanley[3] πεδαιχμι- 589 64 χρονίζοντας Dind.[12] (deleto βρύει post Hermann[32]) ἄχη (ita M[s]: ἄχει M) del. Schütz[2] βρύειν Jacob[2] sicut 69: βρύει M cum gl. ἀνθεῖ (cf. 1009) 65 ἄκρατος Schütz[2] contra Σ 66 τὰ δ' (cf. Ag. 1018) Bamberger[4]: δι' M ἔκποθεν M: corr. Schütz[2] 67 διαρρυδᾶν M: corr. Lobeck[3] 156 68 αἰανὴς Ahrens[0], cf. Σ διαιωνίζουσα: διαλγὴς M δ' ἄτα Eichstaedt: ἄτη M 69 ⟨καὶ⟩ et νόσος West[7]: νόσου Σ M βρύειν del. Hermann[2] 15, cetera Portus[1] 71 οἴγοντι M: corr. Steph. τ' Platt[3] 93 οὔτε Bothe[1] 72 ῥόοι Blaydes[2]

⟨ξυμ⟩βάλλοντες, τὸν
χερομυσῆ φόνον καθαί-
ροντες, ἴθυσαν ⟨μ⟩άταν.

ἐμοὶ δ' (ἀνάγκαν γὰρ ἀμφίπτολιν epod.
θεοὶ προσήνεγκαν, ἐκ γὰρ οἴκων πατρῴων
δούλιον ἐσᾶγον αἶσαν)
δίκαια καὶ μὴ δίκαι' αἰνέσαι
πρέποντ' ἀρχὰς βίου βίαι φρενῶν,
πικρὸν στύγος κρατούσαι·
δακρύω δ' ὑφ' εἱμάτων
ματαίοις δεσποτᾶν τύχαισιν,
κρυφαίοις πένθεσιν παχνουμένα.

ΗΛΕΚΤΡΑ

δμωιαὶ γυναῖκες, δωμάτων εὐθήμονες,
ἐπεὶ πάρεστε τῆσδε προστροπῆς ἐμοί
πομποί, γένεσθε τῶνδε σύμβουλοι πέρι·
τί φῶ χέουσα τάσδε κηδείους χοάς;

73 συμβάλλοντες Risberg[2] 180: βαίνοντεσ M: συμβαίνοντες Paley[5] τὸν del. Herwerden[9] 54 χαιρομυσῆ M: corr. Porson[1] (χειρο- iam Turn.) φόνου Rogers 58 contra Σ 74 ἰοῦσαν ΣM: corr. Musgrave ἄτην ΣM, ἄταν M[s]: corr. Scal.[2] (μάτην), Heath 75 ἀμφίπτολιν ΣM[s]: -πτόλιν M[a] 76 ἐκ δ' ἄρ' anon.[1] 77 ἐσάγαγον Wil.[11] 78 αἰνέσαι huc trai. West[7]: post βίαι φερομένων (v. ad 79–80) M 79 ἀπ' ἀρχῆς interpr. Σ 79 sq. βίαι φρενῶν et πικρὸν στύγος Ahrens[7]: βίαι φερομένων αἰνέσαι πικρῶν (-ὸν Σ) φρενῶν | στύγοσ ΣM κρατούση M (ι add. M[s]): corr. Tucker[3] 82 ματαίοις ... τύχαισι Eichstaedt: ματαίοισι ... | τύχαισ M δεσπόταν M: corr. Stanley[1] 83 παχνουμένην M: corr. Turn. (-νη), Peile 87 τύφω δὲ M (τύμβωι ci. M[s]): corr. Ahrens[7] (δὲ del. Turn.)

πῶς εὔφρον' εἴπω, πῶς κατεύξωμαι πατρί;
πότερα λέγουσα παρὰ φίλης φίλωι φέρειν
γυναικὸς ἀνδρί, τῆς ἐμῆς μητρὸς πάρα;
τῶνδ' οὐ πάρεστι θάρσος, οὐδ' ἔχω τί φῶ
χέουσα τόνδε πελανὸν ἐν τύμβωι πατρός.
ἢ τοῦτο φάσκω τοὔπος, ὡς νόμος βροτοῖς,
εὖ τ' ἀντιδοῦναι τοῖσι πέμπουσιν τάδε
στέφη, δόσιν γε τῶν καλῶν ἐπαξίαν;
ἢ σῖγ' ἀτίμως, ὥσπερ οὖν ἀπώλετο
πατήρ, τάδ' ἐκχέασα, γάποτον χύσιν,
στείχω, καθάρμαθ' ὥς τις ἐκπέμψας, πάλιν
δικοῦσα τεῦχος ἀστρόφοισιν ὄμμασιν;
τῆσδ' ἔστε βουλῆς, ὦ φίλαι, μεταίτιαι·
κοινὸν γὰρ ἔχθος ἐν δόμοις νομίζομεν.
μὴ κεύθετ' ἔνδον καρδίας φόβωι τινός·
τὸ μόρσιμον γὰρ τόν τ' ἐλεύθερον μένει
καὶ τὸν πρὸς ἄλλης δεσποτούμενον χερός.
λέγοις ἄν, εἴ τι τῶνδ' ἔχεις ὑπέρτερον.
ΧΟ. αἰδουμένη σοι βωμὸν ὣς τύμβον πατρός
λέξω, κελεύεις γάρ, τὸν ἐκ φρενὸς λόγον.
ΗΛ. λέγοις ἄν, ὥσπερ ᾐδέσω τάφον πατρός.
⟨ΧΟ.⟩ φθέγγου χέουσα κεδνὰ τοῖσιν εὔφροσιν.
ΗΛ. τίνας δὲ τούτους τῶν φίλων προσεννέπω;

88 κατεύξωμαι Turn.: -ομαι M (cf. Soph. Tr. 973. Eur. Ion. 758. I. A. 455) 89 πὰρ (cf. Eum. 229) H. Wolf 90 fort. τῆς ⟨γ'⟩, cf. 190 (ci.) 91 sq. post 95 trai. Weil[3], post 99 Diggle[2] 92 τῶνδε M[a] πελανὸν sic M 94 εὖ τ' sive ἔσθλ' Elmsley[4] 137: ἔστ' M: ἴσ' Bamberger[4] 95 γε Bourdelot καλῶν Elmsley l. c.: κακῶν Σ M 97 ἐκχέασα Dind.[12]: ἐκχέουσα M 100 ἐστὲ M: corr. Asul., cf. Σ μεταίτιοι Blomf.[13], cf. ad 910 101 ἄχθος Blaydes[2] 329 105 ἔχεις (cf. 668) Askew[2]: ἔχοισ M 106 τοι Dind.[12] 109 κεδνὰ Hartung (ἀγαθὰ Σ): σεμνὰ M

ΧΟ. πρῶτον μὲν αὐτὴν χὤστις Αἴγισθον στυγεῖ.
ΗΛ. ἐμοί τε καὶ σοί τἄρ' ἐπεύξομαι τάδε.
ΧΟ. αὐτὴ σὺ ταῦτα μανθάνουσ' ἤδη φράσαι.
ΗΛ. τίν' οὖν ἔτ' ἄλλον τῇδε προστιθῶ στάσει;
ΧΟ. μέμνησ' Ὀρέστου, κεἰ θυραῖός ἐσθ' ὅμως.
ΗΛ. εὖ τοῦτο, κἀφρένωσας οὐχ ἥκιστά με.
ΧΟ. τοῖς αἰτίοις νυν τοῦ φόνου μεμνημένη –
ΗΛ. τί φῶ; δίδασκ' ἄπειρον ἐξηγουμένη.
ΧΟ. ἐλθεῖν τιν' αὐτοῖς δαίμον' ἢ βροτῶν τινα –
ΗΛ. πότερα δικαστὴν ἢ δικηφόρον λέγεις;
ΧΟ. ἁπλωστὶ φράζουσ', ὅστις ἀνταποκτενεῖ.
ΗΛ. καὶ ταῦτά μοὔστιν εὐσεβῆ θεῶν πάρα;
ΧΟ. πῶς δ' οὔ, τὸν ἐχθρὸν ἀνταμείβεσθαι κακοῖς;
ΗΛ. ⟨. . . . .⟩
κῆρυξ μέγιστε τῶν ἄνω τε καὶ κάτω,
⟨ἄρηξον,⟩ Ἑρμῆ χθόνιε, κηρύξας ἐμοί
τοὺς γῆς ἔνερθε δαίμονας κλυεῖν ἐμάς
εὐχάς, πατρῴων δωμάτων ἐπισκόπους,
καὶ Γαῖαν αὐτήν, ἣ τὰ πάντα τίκτεται
θρέψασά τ' αὖθις τῶνδε κῦμα λαμβάνει.
κἀγὼ χέουσα τάσδε χέρνιβας †βροτοῖς†

111 αὐτὴν M[a] 112 ἐπεύξωμαι Dobree[3] 26/23 116 τοῦτό γ' ἐφρ- Blaydes[5] 117 νῦν M: corr. Paley[1] 120 λέγω (cf. 110) Weil[11] 124 121 ἁπλωστὶ Hermann[32]: ἁπλῶστι M 122 καὶ] fort. ἦ 123 fort. ἐχθρόν ⟨γ'⟩ post h. v. lac. stat. Wil.[11] (dubitaverat Schütz[2]) 165 huc trai. Hermann[14] 6/78 sq. μεγίστη M: corr. Portus[1] 124 ⟨ἄρηξον⟩ Klausen: potest tamen lac. post χθόνιε esse (Canter), cf. 1 125 possis γῆς ⟨τ'⟩ κλύειν M: corr. Wil.[19] 126 δωμάτων Portus[2]: δ'ὀμμάτων M: αἱμάτων Ahrens[7] (Pl. Leg. 872e cont. Groeneboom[6]; similis corruptela infra 649) 129 νεκροῖς M[sγρ]: φθιτοῖς (Pers. 220) Hermann[3] 63

λέγω καλοῦσα πατέρ'· ἐποίκτιρόν τ' ἐμέ
φίλον τ' Ὀρέστην φῶς ἄναψον ἐν δόμοις.
πεπραμένοι γὰρ νῦν γέ πως ἀλώμεθα
πρὸς τῆς τεκούσης, ἄνδρα δ' ἀντηλλάξατο
Αἴγισθον, ὅσπερ σοῦ φόνου μεταίτιος.
κἀγὼ μὲν ἀντίδουλος, ἐκ δὲ χρημάτων
φεύγων Ὀρέστης ἐστίν, οἳ δ' ὑπερκόπως
ἐν τοῖσι σοῖς πόνοισι χλίουσιν μέγα.
ἐλθεῖν δ' Ὀρέστην δεῦρο σὺν τύχηι τινί
κατεύχομαί σοι, καὶ σὺ κλῦθί μου πάτερ·
αὐτῆι τέ μοι δὸς σωφρονεστέραν πολύ
μητρὸς γενέσθαι χεῖρά τ' εὐσεβεστέραν.
ἡμῖν μὲν εὐχὰς τάσδε, τοῖς δ' ἐναντίοις
λέγω φανῆναι σοῦ πάτερ τιμάορον
καὶ τοὺς κτανόντας ἀντικατθανεῖν δίκηι·
ταῦτ' ἐν μέσωι τίθημι †τῆς κακῆς ἀρᾶς†
κείνοις λέγουσα τήνδε τὴν κακὴν ἀράν·

132 (ἀλώμεθα) Hsch. (Cyr.) α 3358 136 cf. Hsch. υ 423

130 ·πάτερ M: corr. Asul. (πάτερ'), Turn. ἐποίκτειρον M: corr. Kirchhoff[1] 131 φῶς τ' ἄναψον ἐν Schneidewin[3?], τ' abiecit Wil.[11]: πῶσ ἀνάξομεν Σ M: ὡς ἀνάξωμεν (cf. Od. 1.402) Pauw: ὡς ἂν ἄρξωμεν Headlam[6] 248 132 πεπραγμένοι M (Σ?): corr. Portus[1] 134 fort. ἔχθιστον 136 φεύγειν M: corr. Rob. 137 μέτα M: corr. Turn. 140 τέ μοι potius quam τ' ἐμοὶ, cf. Schwyzer Gramm. II 187 σωφρονεστερα M, corr. M^{s}: -τέραι hic et 141 Meineke[3] 214 144 κτανόντας ⟨σ'⟩ Heyse ἀντικατακτανεῖν $M^{\gamma\rho}$ (-κακτ- Scal.) δίκηι Portus[1]: δίκην M: δίκην ⟨τίνοντας ὧν ἔδρασαν ἀξίαν κακῶν⟩ Weil[3] 145 τῆς καλῆς ἀρᾶς Schütz[2] (κεδνῆς Butler): τοῖς κακοῖς ἄρα Weil[15]: μελομένοις τελεῖν Wil.[11]: τοῖσπερ ἂν μέλῃ Mazon

ἡμῖν δὲ πομπὸς ἴσθι τῶν ἐσθλῶν ἄνω
ξὺν θεοῖσι καὶ Γῆι καὶ Δίκηι νικηφόρωι.
  τοιαῖσδ' ἐπ' εὐχαῖς τάσδ' ἐπισπένδω χοάς·
ὑμᾶς δὲ κωκυτοῖς ἐπανθίζειν νόμος,
παιῶνα τοῦ θανόντος ἐξαυδωμένας.

ΧΟ. ἵετε δάκρυ καναχὲς {ὀλόμενον}
  ὀλομένωι δεσπόται
πρὸς ἔρυμα τόδε κεδνῶν, κακῶν δ'
  ἀπότροπον ἄγος ἀπεύχετον,
κεχυμένων χοᾶν·
κλύε δέ μοι, σέβας,
  κλύ' ὦ δέσποτ' ἐξ ἀμαυρᾶς φρενός.
ὀτοτοτοτοτο{το}τοῖ·
ἰώ, τίς δορισθενὴς ⟨εἶσ'⟩ ἀνὴρ
  ἀναλυτὴρ δόμων, Σκυθικά τ' ἐν χεροῖν
  {παλίντονα} ἐν ἔργωι βέλη πιπάλλων Ἄρεως
  σχέδιά τ' αὐτόκωπα νωμῶν βέλη;

147 (– ἴσθι) Eren. Philo 96 (Nickau Ammon. p. 66) 162 (πιπάλλων) Hsch. π 2336 163 cf. Hsch. σ 2961

---

147 τῶνδ' M[s] 148 ξὺν Porson[1]: σὺν M 151 παιᾶνα M 152 sq. ὀλόμενον del. Blomf.[13]: ὀλομένωι μελόμενον (cf. Eur. Pho. 1302) Wecklein[9] 354: ὀλ. ⟨ἐπ'⟩ ὀλομένωι Blass[8] 154 κεδνῶν κακῶν Schütz[2]: κακῶν κεδνῶν Σ M δ' Butler: τ' Σ M 155 ἄγος Σ: ἄλγος M 157 sq. σέβας κλύ' ὦ Bamberger[4], Peile: κλῦε· | σεβάσω M (σέβας ὦ Turn.) 159 το sustulit Seidler[1] 59 ut sit dochmius 160 ἴ⟨τ⟩ω τις Bothe[1] δορι- anon.[3]: δορυ- M ⟨εἶσ'⟩ Weil[3] 161 Σκυθικά Rob.: σκυθῆτά M (sc. HC = IK) 162 παλίντον' del. Paley[7] πιπάλλων M Hsch.: 'πιπάλλων Rob., Turn.: τιταίνων anon.[3] Ἄρεως Blaydes[5] (cum ἐν ἔργωι iungendum): ἄρησ M 163 σχέδια] ἕτοιμα M[sγρ] displicet βέλη repetitum: ξίφη nol. Pauw (Σ? non liquet)

164 ⟨ΗΛ.⟩ ἔχει μὲν ἤδη ⟨γ⟩απότου⟨ς⟩ χοὰς πατήρ·
166 νέου δὲ μύθου τοῦδε κοινωνήσατε.
ΧΟ. λέγοις ἄν· ὀρχεῖται δὲ καρδία φόβωι.
ΗΛ. ὁρῶ τομαῖον τόνδε βόστρυχον τάφωι.
ΧΟ. τίνος ποτ' ἀνδρὸς ἢ βαθυζώνου κόρης;
ΗΛ. εὐξύμβολον τόδ' ἐστὶ παντὶ δοξάσαι.
ΧΟ. πῶς οὖν παλαιὰ παρὰ νεωτέρας μάθω;
ΗΛ. οὐκ ἔστιν ὅστις πλὴν ἐμοῦ κείραιτό νιν.
ΧΟ. ἐχθροὶ γὰρ οἷς προσῆκε πενθῆσαι τριχί.
ΗΛ. καὶ μὴν ὅδ' ἐστὶ κάρτ' ἰδεῖν ὁμόπτερος –
ΧΟ. ποίαις ἐθείραις; τοῦτο γὰρ θέλω μαθεῖν.
ΗΛ. αὐτοῖσιν ἥμιν κάρτα προσφερὴς ἰδεῖν.
ΧΟ. μῶν οὖν Ὀρέστου κρύβδα δῶρον ἦ⟨ν⟩ τόδε;
ΗΛ. μάλιστ' ἐκείνου βοστρύχοις προσείδεται.
ΧΟ. καὶ πῶς ἐκεῖνος δεῦρ' ἐτόλμησεν μολεῖν;
ΗΛ. ἔπεμψε χαίτην κουρίμην χάριν πατρός.
ΧΟ. οὐχ ἧσσον εὐδάκρυτά μοι λέγεις τάδε,
εἰ τῆσδε χώρας μήποτε ψαύσει ποδί.
ΗΛ. κἀμοὶ προσέστη καρδίαι κλυδώνιον
χολῆς, ἐπαίθην δ' ὡς διανταίωι βέλει·
ἐξ ὀμμάτων δὲ δίψιοι πίπτουσί μοι

164 γαπότους Turn.: ἀπό,του M (diastolen M[s]; ἀ i. r.) 165 v. post 123 167 ἀνορχεῖται M: dist. Turn. 170 sq. post 179 trai. Ludwig 428: malim post 175 ponere (nota homoeoteleuton) 171 πὰρ Radermacher[1] 2, cf. ad 89 172 πλὴν ⟨γ'⟩ Blaydes[8] 12 cl. Soph. El. 909 πλὴν ἑνὸς Dobree[3] 27/23 κείρετό M: corr. Turn. post 173 'ego autem non abscidi' desid. Wecklein[11], [13]236, cl. Soph. l. c. 176 ἡμῖν M 177 οὐκ Blomf.[13] ἢ M: corr. Scholefield (ᾖ priores post Mc) 180 καὶ τὴν M: corr. Vict.: χαίτης Wecklein[11] πατρί Turn. 181 αὖ δακρυτά Emperius[0] 182 ψαύδει M, ηι ss. M[s]: corr. Turn. 183 καρδίας M: corr. anon.[1,3]

σταγόνες ἄφαρκτοι δυσχίμου πλημυρίδος
πλόκαμον ἰδούσηι τόνδε· πῶς γὰρ ἐλπίσω
ἀστῶν τιν' ἄλλον τῆσδε δεσπόζειν φόβης;
ἀλλ' οὐδὲ μήν νιν ἡ κτανοῦσ' ἐκείρατο,
ἐμή γε μήτηρ, οὐδαμῶς ἐπώνυμον
φρόνημα παισὶ δύσθεον πεπαμένη.
ἐγὼ δ' ὅπως μὲν ἄντικρυς τάδ' αἰνέσω,
εἶναι τόδ' ἀγλάϊσμά μοι τοῦ φιλτάτου
βροτῶν Ὀρέστου – σαίνομαι δ' ὑπ' ἐλπίδος.
φεῦ·
εἴθ' εἶχε φωνὴν ἔμφρον' ἀγγέλου δίκην,
ὅπως δίφροντις οὖσα μὴ'κινυσσόμην,
ἀλλ' εὖ σάφ' ἦν ἢ τόνδ' ἀποπτύσαι πλόκον,
εἴπέρ γ' ἀπ' ἐχθροῦ κρατὸς ἦν τετμημένος,
ἢ ξυγγενὴς ὢν εἶχε συμπενθεῖν ἐμοί,
ἄγαλμα τύμβου τοῦδε καὶ τιμὴν πατρός.
ἀλλ' εἰδότας μὲν τοὺς θεοὺς καλούμεθα,
οἵοισιν ἐν χειμῶσι ναυτίλων δίκην
στροβούμεθ'· εἰ δὲ χρὴ τυχεῖν σωτηρίας,
σμικροῦ γένοιτ' ἂν σπέρματος μέγας πυθμήν.
  καὶ μὴν στίβοι γε, δεύτερον τεκμήριον,

196 (κηνυσσόμην) Hsch. κ 2522

---

186 ἄφρακτοι M: corr. Dind.[4] πλη$^{\mu}$μυρίδοσ M 189 κανοῦσ' anon.[3] 190 γε Bourdelot: δὲ M ἐπώνυμος Blaydes[5] (contra Σ), sed cf. Sept. 536 sq. 191 δύσθεος Pauw (contra Σ) 192 δὲ πῶς ...; (cf. 187) Schütz[6] 195 ἔμφρον' Aur.[3]: εὔφρον' M 196 κηνυσσόμην Hsch., 'κην- M: corr. Turn. 197 σάφ' ἦν ἢ Wellauer[1] 35 (σάφ' ἦν iam Schütz[2]): σαφηνῆ M: σάφ' ἤιδη Porson[6] 159: σάφ' ἤινει Kayser 198 εἴπέρ M 200 τιμὴ Portus[2] contra Σ 201–4 post 210 trai. Butler, post 211 Weil[3] 201 fort. μὴν 202 δίκηι M (ηι i. r.), Σ: corr. Asul. 205–10 del. Schütz[2], 205–11 Srebrny 49, Fraenkel[1] III 818; cf. ad 228–9

†ποδῶν δ' ὁμοῖοι† τοῖς τ' ἐμοῖσιν ἐμφερεῖς.
καὶ γὰρ δύ' ἐστὸν τώδε περιγραφὰ ποδοῖν,
αὐτοῦ τ' ἐκείνου καὶ ξυνεμπόρου τινός·
⟨. . . . .⟩
πτέρναι τενόντων θ' ὑπογραφαὶ μετρούμεναι
εἰς ταὐτὸ συμβαίνουσι τοῖς ἐμοῖς στίβοις·
πάρεστι δ' ὠδὶς καὶ φρενῶν καταφθορά.

ΟΡ. εὔχου τὰ λοιπά, τοῖς θεοῖς τελεσφόρους
εὐχὰς ἐπαγγέλλουσα, τυγχάνειν καλῶς.
ΗΛ. ἐπεὶ τί νῦν ἕκατι δαιμόνων κυρῶ;
ΟΡ. εἰς ὄψιν ἥκεις ὧνπερ ἐξηύχου πάλαι.
ΗΛ. καὶ τίνα σύνοισθά μοι καλουμένηι βροτῶν;
ΟΡ. σύνοιδ' Ὀρέστην πολλά σ' ἐκπαγλουμένην.
ΗΛ. καὶ πρὸς τί δῆτα τυγχάνω κατευγμάτων;
ΟΡ. ὅδ' εἰμί· μὴ μάστευ' ἐμοῦ μᾶλλον φίλον.
ΗΛ. ἀλλ' ἦ δόλον τιν' ὦ ξέν' ἀμφί μοι πλέκεις;
ΟΡ. αὐτὸς κατ' αὐτοῦ τἄρα μηχανορραφῶ.
ΗΛ. ἀλλ' ἐν κακοῖσι τοῖς ἐμοῖς γελᾶν θέλεις;
ΟΡ. κἀν τοῖς ἐμοῖς ἄρ', εἴπερ ἔν γε τοῖσι σοῖς.

206 ποδ i. r., fuerat ..ṭ u. v. δόμοιοι M, δ'ὁμοῖοι M[s], alterutrum Σ (gl. ad ἐμφερεῖς?): δ' del. Turn.: ὁμοίως Weil[3]: possis ὀθνεῖοι, (ΟΘΝЄΙΟΙ = ΔΟΜΟΙΟΙ), h. e. 'alteri alieni, alteri meis similes' τοῖς γ' Σ: τοῖσδ' Weil[3] post 206 lac. stat. Wil.[19], post 208 Hermann[32]; desideratur fere ⟨καὶ τοῦ μὲν οὔτι ξυγγενεῖς, αἱ τοῦδε δ' αὖ⟩ 208.207 hoc ordine post 205 loc. Thomson[4] (206 δ' ὁμοῖαι legens) ξυνεμπόρου (cf. 713.733) Porson[1]: συν- M 215 ὧιπερ Quincey[3] 145 ἐξήυκου M: corr. Rob., Turn. 217 ξύνοιδ' Porson[1], at cf. 216. Supp. 215 sq. σ'ἐκπαγλουμένην Σ, Rob., Turn.: -μένησ M: σοι'κπαγλουμένηι Pauw (rectius σοὐκπ- Blaydes[2]) 219 μάτευ' Mc 221 ταρρα M: corr. Rob. (τ'ἄρα), Dind.[1] 223 ἐμοῖσιν ἄρ' M: corr. Turn.

ΗΛ. ὡς ὄντ' Ὀρέστην γάρ σ' ἐγὼ προσεννέπω;
〈ΟΡ.〉 αὐτὸν μὲν οὖν ὁρῶσα δυσμαθεῖς ἐμέ,
κουρὰν δ' ἰδοῦσα τήνδε κηδείου τριχός
ἀνεπτερώθης κἀδόκεις ὁρᾶν ἐμέ,
ἰχνοσκοποῦσά τ' ἐν στίβοισι τοῖς ἐμοῖς
〈. . . . .〉
σαυτῆς ἀδελφοῦ ξυμμέτρου τῶι σῶι κάραι·
σκέψαι τομῆι προσθεῖσα βόστρυχον τριχός.
ἰδοῦ δ' ὕφασμα τοῦτο, σῆς ἔργον χερός,
σπάθης τε πληγὰς ἠδὲ θήρειον γραφήν –
ἔνδον γενοῦ, χαρᾶι δὲ μὴ'κπλαγῆις φρένας·
τοὺς φιλτάτους γὰρ οἶδα νῶιν ὄντας πικρούς.
ΗΛ. ὦ φίλτατον μέλημα δώμασιν πατρός,
236 δακρυτὸς ἐλπὶς σπέρματος σωτηρίου·
238 ὦ τερπνὸν ὄμμα, τέσσαρας μοίρας ἔχον
ἐμοί· προσαυδᾶν σ' ἐστ' ἀναγκαίως ἔχον
πατέρα τε, καὶ τὸ μητρὸς εἰς σέ μοι ῥέπει
στέργηθρον – ἣ δὲ πανδίκως ἐχθαίρεται –
καὶ τῆς τυθείσης νηλεῶς ὁμοσπόρου·

224 γάρ Hermann[32], σ' ἐγὼ προσεννέπω Aur.[3] (σ' ἄρ' ἐγὼ Hartung): τάδ' ἐγώ σε προυννέπω M 225 οὖν Mc[a]: νῦν M 228 del. Schütz[2] (cf. ad 205–10), 229 Wecklein[5] 184, ambos Wil.[11]: 228 (228–9 iam Rob.) ante 227 trai. Pauw: lac. stat. Lloyd-Jones[4]. deesse conieceris 'fratrem agnovisti: illa vestigia autem ecce mea sunt, meus ille crinis quem pro certo habes esse' σαυτῆς ἀδελφοῦ 229 post 226 trai. Heath, post 230 Bothe[1] συμμέτρου ΣΜ (ξυμ- Porson[1]): σύμμετρον Pauw τὠμῶι Ahrens[7] 230 τομῆι Turn.: το μὴ M: κόμηι Hartung, cf. Eur. El. 520 232 ἠδὲ Turn.: εἰσδὲ M θηρίον M: corr. Bamberger[4] 233 μὴκπλαγιῆι M: corr. Turn. 236 τέρματος Mehler 106, cf. Soph. O.C. 725 σωτήριος Schütz[1] 79 238 ἔχων Peile 239 σ' Blaydes[2]: δ' ΣΜ 240 πατέρα σε Schütz[6]

πιστός τ' ἀδελφὸς ἦσθ', ἐμοὶ σέβας φέρων
243a μόνος. ⟨κατῆλθες δῆτα, καὶ τάχ' ἐντελεῖ⟩
237 ἀλκῆι πεποιθὼς δῶμ' ἀνακτήσηι πατρός.
⟨ΟΡ.⟩ ⟨μόνον⟩ Κράτος τε καὶ Δίκη ξὺν τῶι τρίτωι
πάντων μεγίστωι Ζηνὶ συγγένοιτό μοι.
Ζεῦ Ζεῦ, θεωρὸς τῶνδε πραγμάτων γενοῦ·
ἰδοῦ δὲ γένναν ⟨εὖν⟩ιν αἰετοῦ πατρός
θανόντος ἐν πλεκτῆσι καὶ σπειράμασιν
δεινῆς ἐχίδνης· τοὺς δ' ἀπωρφανισμένους
νῆστις πιέζει λιμός· οὐ γὰρ ἐντελεῖς
θήραν πατρώιαν προσφέρειν σκηνήμασιν.
οὕτω δὲ κἀμὲ τήνδέ τ', Ἠλέκτραν ⟨λ⟩έγω,
ἰδεῖν πάρεστί σοι, πατροστερῆ γόνον,
ἄμφω φυγὴν ἔχοντε τὴν αὐτὴν δόμων.
καὶ τοῦ θυτῆρος καὶ σὲ τιμῶντος μέγα
πατρὸς νεοσσοὺς τούσδ' ἀποφθείρας πόθεν
ἕξεις ὁμοίας χειρὸς εὔθοινον γέρας;
οὔτ' αἰετοῦ γένεθλ' ἀποφθείρας πάλιν
πέμπειν ἔχοις ἂν σήματ' εὐπειθῆ βροτοῖς,
οὔτ' ἀρχικός σοι πᾶς ὅδ' αὐανθεὶς πυθμὴν
βωμοῖς ἀρήξει βουθύτοις ἐν ἤμασιν.

243 τ' Wil.[11]: δ' M 243a/4 μόνοσ κράτοσ τε etc. M: μόνον Turn.: μόνος ⟨... μόνον⟩ Headlam[16]: 237 post 243 trai. Hartung (233–7 universos Rossbach[1?]): ut supra West[6] 196 qui e.g. supplevit. Orestem inde a 244 loqui statuit Turn. (a 246 Rob.): nulla nota in M ξὺν Porson[1]: σὺν M 246 πρηγμάτων M: corr. Rob., Turn. 247 γενναυιν M, γέννα, νιν M[s]: corr. Turn. 248 πλεκταῖσι M σπιράμασιν M: corr. Mc 250 ἐντελὴσ ΣM: corr. Pauw 251 θήραν πατρώιαν Σ: θῆρα πατρῶα M (-ώα M[s]) πατρώιοις Blomf.[13] 215 σκηνώμασιν Bothe[1] 252 λέγω Asul.: ἐγὼ M 255–63 Electrae trib. Hermann[32] 255 καίτοι Musgrave 257 εὔθυνον M[as], agn. Σ 259 εὐπιθῆ M[s] 260 αὐανθεὶσ M: corr. Blaydes[2]

κόμιζ', ἀπὸ σμικροῦ δ' ἂν ἄρειας μέγαν
δόμον, δοκοῦντα κάρτα νῦν πεπτωκέναι.
ΧΟ. ὦ παῖδες, ὦ σωτῆρες ἑστίας πατρός,
σιγᾶθ', ὅπως μὴ πεύσεταί τις, ὦ τέκνα,
γλώσσης χάριν δὲ πάντ' ἀπαγγείληι τάδε
πρὸς τοὺς κρατοῦντας· οὓς ἴδοιμ' ἐγώ ποτε
θανόντας ἐν κηκῖδι πισσήρει φλογός.
⟨ΟΡ.⟩ οὔτοι προδώσει Λοξίου μεγασθενὴς
χρησμός, κελεύων τόνδε κίνδυνον περᾶν
κἀξορθιάζων πολλὰ καὶ δυσχειμέρους
ἄτας ὑφ' ἧπαρ θερμὸν ἐξαυδώμενος
εἰ μὴ μέτειμι τοῦ πατρὸς τοὺς αἰτίους
274 τρόπον τὸν αὐτόν, ἀνταποκτεῖναι λέγων·
276 αὐτὸν δ' ἔφασκε τῆι φίληι ψυχῆι τάδε
277 τείσειν μ' ἔχοντα πολλὰ δυστερπῆ κακά,
275 ἀποχρημάτοισι ζημίαις ταυρούμενον.
τὰ μὲν γὰρ ἐκ γῆς δυσφρόνων μηνίματα
βροτοῖς πιφαύσκων εἶπε, τὰς δ' ἔ⟨γ⟩νω νόσους
σαρκῶν ἐπαμβατῆρας, ἀγρίαις γνάθοις
λειχῆνας ἐξέσθοντας ἀρχαίαν φύσιν,

279 cf. Hsch. π 2402

---

262 δαναρίας M: corr. Turn., cf. Σ 266 ἀπαγγελεῖ Porson[1], at cf. Pers. 118 sqq. Eur. Pho. 93 sq. Ar. Eccl. 495 269 Oresti trib. Rob.: nulla nota οὔτι M: corr. Turn. 271 κἀξορθι- Turn.: κἀξοθρι- M: κἀπορθι- Blaydes[2] (cf. ἐξ- 272) 273 τοῦ φόνου Dind.[11] xciii, cf. 117. Eum. 580 276 ⟨ἦ⟩ αὐτόν γ' Blass[8] 277 τίσειν M: corr. Kirchhoff[2] 275 post 277 Hartung, post 272 Rossbach[1?], post 285 Klausen ἀπόχρηματοῖσι M μαυρούμενον Hartung 278 μηνίματα Lobeck[1] ad Ai. 757: μειλίγματα (15) ΣM 279 δ' ἔ⟨γ⟩νω West[7]: δὲ νω M, δὲ νῶν M[s]: δ' αἰνῶν Hermann[32] (τάσδ' Headlam[16]), at v. Fraenkel[1] III 703 n. 2 280 ἐπεμβ- Aur.[3]/Portus[1] (cf. ἐπαν- 282) 281 λιχῆνασ M: corr. Blomf.[13] 214

λευκὰς δὲ κόρσας τῆιδ' ἐπαντέλλειν νόσωι·
ἄλλας τ' ἐφώνει προσβολὰς Ἐρινύων
ἐκ τῶν πατρώιων αἱμάτων τελουμένας
⟨. . . . .⟩
ὁρῶντα λαμπρόν, ἐν σκότωι νωμῶντ' ὀφρῦν.
τὸ γὰρ σκοτεινὸν τῶν ἐνερτέρων βέλος
ἐκ προστροπαίων ἐν γένει πεπτωκότων
καὶ λύσσα καὶ μάταιος ἐκ νυκτῶν φόβος
κινεῖ, ταράσσει, καὶ διωκάθει πόλεως
χαλκηλάτωι πλάστιγγι λυμανθὲν δέμας.
καὶ τοῖς τοιούτοις οὔτε κρατῆρος μέρος
εἶναι μετασχεῖν, οὐ φιλοσπόνδου λιβός,
βωμῶν τ' ἀπείργειν οὐχ ὁρωμένην πατρός
μῆνιν· δέχεσθαι ⟨δ'⟩ οὔτε συλλύειν τινά,
πάντων δ' ἄτιμον κἄφιλον θνήισκειν χρόνωι
κακῶς ταριχευθέντα παμφθάρτωι μόρωι.
τοιοῖσδε χρησμοῖς ἆρα χρὴ πεποιθέναι;

282 Et.G. = M. 530.51, Gud. auct. 338.30, Zonar. 1236, cf. Poll. 2.32 290 (πλάστιγγι) Hsch. (Cyr.) π 2462–3, Et.G. = M. 674.20

282 λευκὰς δὲ κόρσας Σ M Poll.[uv] Etym.: λεύκας δὲ κόρσαις Lobel[3] (κόρσαις iam Doederlein[3] II 209) ἐπαντέλλειν Etym. (ἐπανατέλλει Gen. A): ἐπαντέλλει M 283 τε φωνεῖ M: corr. Aur.[3] post 284 lac. susp. Stanley[3]: ⟨ἐξιστάναι με, πολλὰ νυκτίφαντ' ἄχη⟩ e.g. Wil.[11] 285 τὸν ἐν σκότωι νῦν κινοῦντα τὴν ὀφρῦν λαμπρῶς ἡμᾶς ἐπεξιέναι ἔλεγεν Σ, unde ὁρ⟨μ⟩ῶντα Scheer[1] 509 λαμπρὰν Bothe[2] cf. Eum. 104 289 διωκάθει Porson[1]: διώκεσθαι M 290 'aeneo iugo', cf. Rhes. 303 ἀγηλάτωι (Blaydes[5]) μάστιγι (Herwerden[1] 101) Headlam[11] 60 n. 26, cf. Lycophr. 436 291 κρατερὸσ M: corr. Rob., Turn. 292 λιβός Turn., λίβοσ M: λίβους Abresch I 428 293 πατρός] βροτοῖς Keck[5?]: possis φθιτοῦ 294 ⟨δ'⟩ Hermann[2] 201: ⟦.⟧ M

κεἰ μὴ πέποιθα, τοὔργόν ἐστ' ἐργαστέον.
πολλοὶ γὰρ εἰς ἓν ξυμπίτνουσιν ἵμεροι,
θεοῦ τ' ἐφετμαὶ καὶ πατρὸς πένθος μέγα,
καὶ πρὸς πιέζει χρημάτων ἀχηνία,
τὸ μὴ πολίτας εὐκλεεστάτους βροτῶν,
Τροίας ἀναστατῆρας εὐδόξωι φρενί,
δυοῖν γυναικοῖν ὧδ' ὑπηκόους πέλειν·
θήλεια γὰρ φρήν· εἰ δὲ μή, τάχ' εἴσεται.

⟨ΧΟ.⟩ ἀλλ' ὦ μεγάλαι Μοῖραι, Διόθεν τῆιδε τελευτᾶν
ἧι τὸ δίκαιον μεταβαίνει.
ἀντὶ μὲν ἐχθρᾶς γλώσσης ἐχθρὰ γλῶσσα τελείσθω·
τοὐφειλόμενον πράσσουσα Δίκη μέγ' ἀϋτεῖ·
ἀντὶ δὲ πληγῆς φονίας φονίαν πληγὴν τινέτω.
"δράσαντι παθεῖν", τριγέρων μῦθος τάδε φωνεῖ.

⟨ΟΡ.⟩ ὦ πάτερ αἰνόπατερ, τί σοι str. 1
φάμενος ἢ τί ῥέξας
τύχοιμ' ἂν ἕκαθεν οὐρίσας,
ἔνθά σ' ἔχουσιν εὐναί;
σκότωι φάος ἀντίμοιρον, χάριτες δ' ὁμοίως

301 cf. Hsch. α 8855

298 πεποίθω Hermann[3] 76: 'πεποίθη id.[8] 791 299 ξυμ- Schütz[2]: συμ- M -πίτν- M[a]: -πίπτ- M[c] ante 302 versum deesse susp. Butler πολίτας ⟨τ'⟩ Pauw 305 δ' ἐμή Vahlen εἴσομαι Butler 306 choro trib. Rob., Turn.: nulla nota 308 μεταβαίνει] ἐπινεύει interpr. Σ: μετανεύει Portus[2]: καταβαίνει Thomson[4] 311 δίκη⟦ν⟧ M μέγ' ἀϋτεῖ ci. M[s] (οἶμαι): μέγαυτι M 313 δράσαντα Pauw, at cf. fr. 456. Pl. Leg. 872e 315–22 Oresti trib. Turn.: nulla nota 317 ita Σ M[s]: ἂν καθεν M: ἄγκαθεν Hermann[8] 724.784: ἀνέκαθεν Wellauer[2]: ἂν σέθεν Heimsoeth[1] 53: ἀγχόθεν Franz: possis ἂν σχεδὸν 319 ἰσοτιμοιρον M (sc. ἀντί- with ισο written above): corr. Erfurdt[1] ad El. 86, cf. Σ ἐναντίον

κέκληνται γόος εὐκλεὴς
προσθοδόμοις Ἀτρείδαις.

⟨ΧΟ.⟩ τέκνον, φρόνημα τοῦ θανόντος οὐ δαμά- str. 2
ζει πυρὸς μαλερὰ γνάθος,
φαίνει δ᾽ ὕστερον ὀργάς.
ὀτοτύζεται δ᾽ ὁ θνήισκων,
ἀναφαίνεται δ᾽ ὁ βλάπτων·
πατέρων τε καὶ τεκόντων
γόος ἔνδικος ματεύει
τὸ πᾶν ἀμφιλαφὴς ταραχθείς.

ΗΛ. κλῦθί νυν ὦ πάτερ ἐν μέρει ant. 1
πολυδάκρυτα πένθη·
δίπαις τοί σ᾽ ἐπιτύμβιος
θρῆνος ἀναστενάζει·
τάφος δ᾽ ἱκέτας δέδεκται φυγάδας θ᾽ ὁμοίως.
τί τῶνδ᾽ εὖ, τί δ᾽ ἄτερ κακῶν;
οὐκ ἀτρίακτος ἄτα;

321 fort. post κέκληνται interpungendum 323–31 choro trib. Turn.: nulla nota 325 ἡ μαλερὰ M: corr. Porson[1] 327 sq. θ᾽ … θ᾽ Heimsoeth[1] 128 θνάισκων Tucker[3] (cf. Sept. 748 v.l.) 329 δὲ Aur.[3] 330 νόος Schütz[6] (cf. Σ ἡ ψυχή) ἔνδικος] v. Fraenkel[1] II 448 sq.: ἐκδίκους Enger[7] 197, ἐκ δίκαν Murray[1] cl. Σ ζητεῖ … τὴν ἐκδίκησιν 331 τὸ πᾶν Σ M: τίταν Martin[1] 13: ποινὰν Schütz[2]: τἄποιν᾽ Bothe[2] 332 paragraphus in M (item 334.338), Electrae verba esse intell. Σ et Mc νῦν M: corr. Canter 334 τοί σ᾽ Schütz[2], ἐπιτύμβιος Hermann[3] 80.90: τοῖσ ἐπιτυμβιδίοισ (cf. 342) M 335 ἀναστενάξει M[uv]: -άζει Mb et fort. Mc 339 si ἄτα; (nol. Pauw), erit ‘nonne invicta adest lues?’; si ἄτα., ‘numquam victoriae expers est lues’

ΧΟ. ἀλλ' ἔτ' ἂν ἐκ τῶνδε θεὸς χρήιζων
θείη κελάδους εὐφθογγοτέρους,
ἀντὶ δὲ θρήνων ἐπιτυμβιδίων
παιὼν μελάθροις ἐν βασιλείοις
νεοκρᾶτα φίλον κομίσειεν.

ΟΡ. εἰ γὰρ ὑπ' Ἰλίωι str. 3
πρός τινος Λυκίων πάτερ
δορίτ'μητος κατηναρίσθης·
λιπὼν ἂν εὔκλειαν ἐν δόμοισιν
τέκνων τ' ἐ⟨ν⟩ κελεύθοις ἐπίστρεπτον αἰῶ
κτίσας πολύχωστον ἂν εἶχες
τάφον διαποντίου γᾶς,
δώμασιν εὐφόρητον.

ΧΟ. φίλος φίλοισι τοῖς ἐκεῖ καλῶς θανοῦ- ant. 2
σιν κατὰ χθονὸς ἐμπρέπων,
σεμνότιμος ἀνάκτωρ
πρόπολός τε τῶν μεγίστων
χθονίων ἐκεῖ τυράννων·

344 (νεοκρᾶτα) Hsch. ν 331, Et.G.Sym. s. κρωσσός, Et.M. 537.47, Gud. 345.56? (cf. Radt ad fr. 323) 350 cf. ad Ag. 229

---

340 paragr.: choro trib. Turn. τῶνδ' ὁ Murray[1] 341 θήη M: corr. Turn. 342 ἐπιτυμβιδίων fort. delendum; cf. 334 343 παίων M 344 κομίσειεν Porson[1]: κομίζει M: φίλοισι κομίζοι Hartung (-ζοι iam Turn.) 345 paragr.: Oresti trib. Tyrwhitt[1] 12, item u.v. Σ ad 350 347 δορίδμητος Bourdelot, -δματος Dind.[12]: -κμητος Blomf.[13], cf. 365 κατεναρίσθησ M: corr. Porson[1] 349 τ' ἐν Wellauer[2]: τε M 350 αἰῶ Ahrens[1] 16 n., cf. ad Ag. 229: αἰῶνα M 351 κτίσας Mb: κτίσσασ M 352 γᾶς Turn.: τασ M 354 paragr.: chori esse credidit Σ

βασιλεὺς γὰρ ἦν, ὄφρ' ἔζη,
μόριμον λάχος †πιμπλάντων†
χεροῖν πεισίβροτόν τε βάκτρον.

⟨ΗΛ.⟩ μηδ' ὑπὸ Τρωΐας ant. 3
τείχεσι φθίμενος πάτερ
μετ' ἄλλωι δουρικμῆτι λαῶι
παρὰ Σκαμάνδρου πόρον τεθάφθαι·
πάρος δ' οἱ κτανόντές νιν οὕτω δαμῆναι,
⟨δάιοις⟩ θανατηφόρον αἶσαν
πρόσω τινὰ πυνθάνεσθαι
τῶνδε πόνων ἄπειρον.

⟨ΧΟ.⟩ ταῦτα μὲν ὦ παῖ κρείσσονα χρυσοῦ,
μεγάλης δὲ τύχης καὶ ὑπερβορέου
μείζονα φωνεῖς· δύνασαι γάρ.

360 ἦ[σ]ν M: ἦσθ' Abresch I 434, Markland ἔζη Hermann[32]: ἔζησ M (cf. ad 439) 361 τὴν ἐκ Μοιρῶν βασιλείαν κεκληρωμένην ἔχων Σ πιπάλλων (162?) Wil.[11]: πιπλάντων Heath (nol. Pauw) 362 πισίμβροτόν M (πεισ- Mc): corr. Pauw 363 Electrae trib. Σ (sed ad 364 τὸν πατέρα αὐτοῦ): nulla nota 364 τείχεσι Heath: -εσσι M 365 ἄλλων M: corr. Stanley[1] δορικμῆτι M: corr. Blomf.[13] 366 τεθάφθαι Tafel, cf. Σ λείπει τὸ ὤφειλες: τέθαψαι M 368 οὕτω Porson[1]: οὕτως M: αὔτως Page[3] 369 δάιοις (sc. Troianis letiferam) West[6] 196, [7]: τοῖς ἐκείνων praebet Σ sensu male percepto, quod utique dativum plur. spondet: φίλοις Conington[5]: δόμοις Blass[6] 275 θαναταφόρον Blaydes[2], cf. Soph. O. R. 181 370 πρόσω Hermann[3] 82: πρόσσω M 372 choro trib. Turn.: nulla nota 373 possis (contra Σ) ὑπερκορέτου 374 φωνεῖς Turn., δύνασαι post Jacob (οὐ δ.) Hermann[31] 296/49 (Σ ῥάιδιον γὰρ τὸ εὔχεσθαι): φωνεῖ·ὁ δυνᾶσαι M: φώνει Tucker[3], cf. Ag. 1669: (ὁ)δυν. γάρ del. Porson[1]: fort. δέ pro γάρ: an fuit glossema ἀδύνατα γάρ?

ἀλλὰ διπλῆς γὰρ τῆσδε μαράγνης δοῦπος ἱκνεῖται·
τῶι μὲν ἀρωγοὶ κατὰ γῆς ἤδη,
τῶν δὲ κρατούντων χέρες οὐχ ὅσιαι,
στυγερῶν τούτων ⟨. . . . .⟩
παισὶ δὲ μᾶλλον γεγένηται.

⟨ΟΡ.⟩ τοῦτο διαμπερὲς οὖς str. 4
ἵκεθ' ἅπερ τε βέλος.
Ζεῦ Ζεῦ, κάτωθεν ἀμπέμπων
ὑστερόποινον ἄταν
βροτῶν τλάμονι καὶ πανούργωι
χειρί· τοκεῦσι δ' ὁμῶς τελεῖται.

⟨ΧΟ.⟩ ἐφυμνῆσαι γένοιτό μοι †πευκή- str. 5
εντ'† ὀλολυγμὸν ἀνδρός
θεινομένου γυναικός τ'
ὀλλυμένας· τί γὰρ κεύ-
θω φρενὸς οἷον ἔμπας

376 τῶι Heyse: τῶν Σ M γῆς] ᾶ ss. M^{s} (cf. ad 403) 377 κρατοῦσιν Heimsoeth[1] 125 ὅσιαι M^{s}: ὁσί[.] M^{a} 378 στυγερὸν Aur.[3] τούτων· M: τούτωι Bamberger[4] eadem ac M legit Σ lac. stat. West[7]; e.g. ⟨ἀχέων ἀρχαί, πατρί τ' ὀνείδη⟩ 379 γεγένηνται Portus[1] 380 Oresti trib. Portus[1], Electrae Σ: nulla nota οὖς Schütz[2]: ὦσ M^{a}, ὡς M^{c}: ὦθ' Meineke[3] 216: διαμπερέως Headlam[16] 382 ἀμπέμπειν Headlam[6] 248: ἄμπεμπ' ὦ Musgrave 383 ἄτην M, α ss. M^{s} 384 τλήμονι M: corr. Hermann[32] (cf. Pers. 977. Eum. 506) 385 'genitoribus autem pariter fi(e)t', i. e. si quis ipse se ulcisci nequit, filius eius id pariter perficit; cf. 329 ὁμῶς Σ: ὅμωσ M 386 choro trib. Turn. (inde a 382): nulla nota πυκάεντ' Dind.[2] 9 (vox dubia): πανηγυρικόν, λαμπρόν Σ 389 ὀλλυμένησ M, α ss. M^{s} 390 οἷον Hermann[3] 83.92: θεῖον $Σ^{uv}$ M φρενόθεν γὰρ Emperius[0]

ποτᾶται πάροιθ' – ἐκ δὲ πρώιρας
δριμὺς ἄηται κραδίας
θυμός – ἔγκοτον στύγος;

⟨ΗΛ.⟩ καὶ πότ' ἂν ἀμφιθαλὴς ant. 4
Ζεὺς ἐπὶ χεῖρα βάλοι,
φεῦ φεῦ, κάρανα δαΐξας;
πιστὰ γένοιτο χώραι·
δίκαν δ' ἐξ ἀδίκων ἀπαιτῶ·
κλῦτε δὲ Γᾶ χθονίων τε τιμαί.

⟨ΧΟ.⟩ ἀλλὰ νόμος μὴν φονίας σταγόνας
χυμένας εἰς πέδον ἄλλο προσαιτεῖν
αἷμα· βοᾶι γὰρ λοιγὸς Ἐρινὺν
παρὰ τῶν πρότερον φθιμένων ἄτην
ἑτέραν ἐπάγουσαν ἐπ' ἄτηι.

396 (δαΐξας) Hsch. (Cyr.) δ 89

---

391 πάροιθ'; ἐκ Page[3]: πάροιθεν ΣM πρώιρας ΣM: possis πρυμνᾶς (... κραδίας), cf. Supp. 989 **392** καρδίασ M: corr. Hermann[3] 84 **394** Electrae trib. Wecklein[3] 159: nulla nota καὶ πότ' M[a]: καί ποτ' M[c] ἀμφιθαλὴσ ΣM: ἀμφιλαφὴς (331) Ahrens[1] 17 n.: -λαφῆ Hartung: -θαλῆ Jacob **398** δ' del. Heyse **399** Γᾶ Ahrens[7] et Franz: τα M τετιμαι M (ss. M[s] ab Σ deceptus) **400** choro trib. Tyrwhitt[1] 13: nulla nota ἀλλ'ἄνομοσ M: corr. Turn. μὴν West[7]: μὲν M. cf. Denniston[3] 342/364 **402** λοιγὸν ἐρινὺσ ΣM: corr. Schütz[2] ('Ερινννὺν iam Bourdelot) **403** πρότερον Portus[3]: προτέρων M: hoc et ἑτέραν del. Ludwig 445: possis προτέρων tenere (cf. Ag. 1338), φθιμένων (406) et ἑτέραν eicere; ad ἑτέραν tamen cf. Eum. 177 (Soph. Ph. 138. O. C. 231. Eur. Herc. 1085) ἄτην M, α ss. M[s]

ΟΡ. ποποῖ δᾶ νερτέρων τυραννίδες· str. 6
ἴδετε πολυκρατεῖς Ἀραὶ †φθειμένων†·
ἴδεσθ' Ἀτρειδᾶν τὰ λοίπ' ἀμηχάνως
ἔχοντα καὶ δωμάτων
ἄτιμα. πᾶι τις τράποιτ' ἂν ὦ Ζεῦ;

⟨ΧΟ.⟩ πέπαλται δ' αὖτέ μοι φίλον κέαρ ant. 5
τόνδε κλύουσαν οἶκτον·
καὶ τότε μὲν δύσελπις,
σπλάγχνα δέ μοι κελαινοῦ-
ται πρὸς ἔπος κλυούσαι·
ὅταν δ' αὖτ' ἐπαλκές ⟨τι φωνῆις⟩,
θάρσος ἀπέστασεν ἄχος
†πρὸς τὸ φανεῖσθαι† μοι καλῶς.

⟨ΗΛ.⟩ τί δ' ἂν φάντες τύχοιμεν; ἦ τάπερ ant. 6
πάθομεν ἄχεα πρός γε τῶν τεκομένων;

405 Oresti trib. Σ (407.412): nulla nota ποῖ ποῖ δὴ M: corr. Bamberger[4] τυραννίδες et Σ: -ίδος Asul.: fort. τύραννʼ ἴδε, 406 φθει-] ι ss. M^s: ⟨ὦ⟩ φθιμένων Ἀραί Wellauer[2]: possis ἀραὶ προπατόρων (φθιμένων fort. ex 403) vel ante vel post †φθειμένων† potest interpungi 409 πᾶι ci. M^s (οἶμαι): πε M 410 choro trib. Pearson[1] (non liquet utrum choro an Electrae Σ): nulla nota πεπάλατε̃ε̃ (ss. M^s): corr. Turn. δαῦτε (= δὴ αὖτε) intelligit Bergk[0] κῆρ O. Müller[4] 30 (~ 386 πευκάεντ') 412 τοτὲ Portus[1] 413 μου M: corr. Schütz[2] 414 πρὸς] τόδ' Hartung κλύουσαν (411) M: corr. M^s 415 ἐπαλκές] ἰσχυροποιόν Σ ⟨τι φωνῆις⟩ e.g. West[7] 416 θραρέαπέστασεν M: corr. Ludwig 444 417 πρὸς τὸ καλά μοι ἐννοεῖν Σ: interpretatio altera pariter formata textum invasisse videtur: (ἐλπὶς ...) προσφανεῖσα Bamberger[4]: fort. προσδοκᾶν τι 418 Electrae trib. Pearson[1] (non liquet utrum El. an Or. Σ): nulla nota φάντες Bothe[2] ex Σ (εἰπόντες): πάντεσ M τύχοιμεν ἂν M: corr. Hermann[3] 85.93 ἢ M: corr. Blomf.[13] 419 ἄχθεα M: corr. Schwenck, Lachmann[1] 111 ex Σ

πάρεστι σαίνειν, τὰ δ' οὔτι θέλγεται·
λύκος γὰρ ὥστ' ὠμόφρων
ἄσαντος ἐκ ματρός ἐστι θυμός.

⟨ΧΟ.⟩ ἔκοψα κομμὸν Ἄριον ἔν τε Κισσίας str. 7
νόμοις ἰ⟨η⟩λεμιστρίας,
ἀπρικτόπληκτα πολυπλάνητα δ' ἦν ἰδεῖν
ἐπασσυτεροτριβῆ τὰ χερὸς ὀρέγματα
ἄνωθεν ἀνέκαθεν, κτύπωι δ' ἐπερρόθει
κροτητὸν ἁμὸν {καὶ} πανάθλιον κάρα.

⟨ΗΛ.⟩ ἰώ, ἰὼ δαΐα str. 8
πάντολμε μᾶτερ, δαΐαις ἐν ἐκφοραῖς
ἄνευ πολιτᾶν ἄνακτ',
ἄνευ δὲ πενθημάτων
ἔτλας ἀνοίμωκτον ἄνδρα θάψαι.

421 (ἄσαντος) Hsch. α 7623 424 (ἰηλεμ.) Hsch. ι 367

---

421 λύκου Bamberger[2] 564/62, cf. Sept. 53 423 choro trib. Lachmann[1] 112: nulla nota ἄρειον M: corr. Hermann[24] 338 ἔν τε Bothe[2] (cf. Ag. 1153): εἴτε M κισσίαισ M: corr. Rob., Turn. 424 ἰηλεμιστρίας Hsch., Hermann l. c.: ιλεμ- M 425 ἀπρικτόπληκτα post Scal.[2] (ἀπριγκτό-) et anon.[3] (ἀπρηκτό-) Heath (ἀπριγδό- Blomf.[13]; -πλακτα Tucker[3]): ἄπριγκτοι πλη|||κτὰ M (πλήσσοντα ἄπριξ Σ) πολυπλάνητα Lachmann[1] 112 (-ατα Tucker[3]): πολυπάλαγκτα vel -αι M (primitus πολύ-): -πάλακτα Bothe[2] δ' ἦν Rob.: ·δὴν M: τ' ἦν Heath: ἄδην Bamberger[4] ειδεῖν M, ϊ ss. M[s] 426 τε Musgrave 427 ἄνωθεν fort. glossema: κάτωθεν Bamberger[4]: ἔνερθεν Herwerden[3] ἐπερρόθει Bourdelot: ἐπιρροθεῖ (458) M 428 καὶ del. Enger[1] 75 429 Electrae trib. O. Müller[1] 477–9: nulla nota ἰὼ alt. del. Wellauer[2] (∼ 451) 430 μῆτερ M: corr. Schütz[6] fort. δ'ἐν 432 τε Hermann[3] 87 433 ἔτλησ M: corr. Dind.[4]

⟨ΟΡ.⟩ τὸ πᾶν ἀτίμως ἔλεξας, οἴμοι· str. 9
πατρὸς δ' ἀτίμωσιν ἆρα τείσει
ἕκατι μὲν δαιμόνων,
ἕκατι δ' ἁμᾶν χερῶν.
ἔπειτ' ἐγὼ νοσφίσας ὀλοίμαν.

⟨ΧΟ.⟩ ἐμασχαλίσθη δέ γ', ὡς τόδ' εἰδῇις, ant. 9
ἔπρασσε δ' ἅπερ νιν ὧδε θάπτει,
μόρον κτίσαι μωμένα
ἄφερτον αἰῶνι σῶι.
κλύει⟨ς⟩ πατρῴιους δύ⟨α⟩ς ἀτίμους.

⟨ΗΛ.⟩ λέγεις πατρῷιον μόρον· ἐγὼ δ' ἀπεστάτουν ant. 7
ἄτιμος, οὐδὲν ἀξία,
μυχῶι δ' ἄφειρκτος πολυσινοῦς κυνὸς δίκαν
ἑτοιμότερα γέλωτος ἀνέφερον λίβη,

439 (ἐμασχ.) Paus. Att. ε 34 (Sud. ε 928)

---

434 Oresti trib. Rob., Turn.: nulla nota. abnormis est dispositio et stropharum (7.8.9.9.7.8) et personarum (El. – Or. non interveniente choro). hanc stropham (434–8) post 455 trai. Schütz[5]: ordinem traditum def. Schadewaldt[1] 338/270 sqq., cui adversatur Lesky 101 sqq. 435 ἆρα Heath: ἀρὰ M[c] ex ἄρα: ἀτίμως σ' ἀρὰ ci. M[s] τίσει M: corr. Kirchhoff[2] 438 νοσφίσας ⟨σφ'⟩ Blaydes[5] ἑλοίμᾶν M: corr. Turn. ex Σ 439 choro trib. O. Müller[1] 477–9: nulla nota ἐμασχαλίσθησ M: corr. Rob. (verum habuit Σ) δέ γ' Klausen, τόδ' Pauw: δὲ τωστοστείδησ M 441 κτεῖναι (ν i. r.) M: corr. Bourdelot (κτῆσαι Portus[2]), cf. Σ et 351 442 ἄφερκτον (446) M: corr. Rob. 443 κλύει M: corr. Turn., cf. Σ δυσατίμουσ M: corr. Portus[2] vel ἀτίμους; cf. Prom. 588, contra ib. 683. Ag. 348. 1431 444 Electrae trib. O. Müller l.c.: nulla nota 447 μυχοῦ M: corr. Stanley[1] ἄφερκτοσ M: corr. Blaydes[2] πολυσίνου⟦σ⟧ M: corr. Wellauer[2]

χέουσα πολύδακρυν γόον κεκρυμμένα.
τοιαῦτ' ἀκούων ⟨τάδ'⟩ ἐν φρεσὶν ⟨γράφου⟩.

⟨ΧΟ.⟩ γράφου· δι' ὤτων δὲ συν- ant. 8
τέτραινε μῦθον ἡσύχωι φρενῶν βάθει.
τὰ μὲν γὰρ οὕτως ἔχει,
τὰ δ' αὐτὸς ὀργᾶι μαθεῖν·
πρέπει δ' ἀκάμπτωι μένει καθήκειν.

⟨ΟΡ.⟩ σέ τοι λέγω, ξυγγενοῦ πάτερ φίλοις. str. 10
⟨ΗΛ.⟩ ἐγὼ δ' ἐπιφθέγγομαι κεκλαυμένα.
⟨ΧΟ.⟩ στάσις δὲ πάγκοινος ἅδ' ἐπιρροθεῖ·
ἄκουσον εἰς φάος μολών,
ξὺν δὲ γενοῦ πρὸς ἐχθρούς.

⟨ΟΡ.⟩ ἄρης ἄρει ξυμβαλεῖ, δίκᾶι δίκα. ant. 10
⟨ΗΛ.⟩ ἰὼ θεοί, κραίνετ' ἐνδίκως ⟨⏑ –⟩.

454 cf. Hsch. (Cyr.) ο 1102a 458 cf. Hsch. ε 6751, Phot. s. εὐδείπνους, Et. Sym. = M. 42.3 (183.11, 187.17 L.-L.)

---

449 χέρουσα M[a], χαίρουσα M[c]: corr. Dobree[3] 27/24 450 ⟨τάδ'⟩ Wil.[11] cf. Eum. 480. Prom. 801 φρεσσὶν M: corr. Rob. γράφου (in v. proximo scriptum M) iteravit Klausen 451 choro trib. O. Müller l. c.: nulla nota 452 φρονῶν M: corr. Turn. (cf. Σ) βάθει (cf. Il. 19.125. Thgn. 1051) Jacobs[2] XI 252: βάσει M 454 αὐτὸσ Σ M[c], αὐτοῖσ M[a]: αὖ τις Headlam[4] 316: αὖθις Blaydes[2] (praeeunte Ahrens[1] 21), αὐτίκ' id.[2] 333 ὀργᾶι Σ M, cf. Hsch.: ὄργα Portus[1], Scal.[2]: ὀργῶ Ahrens l. c. 455 πρέπει⟦σ⟧ M (fort. σοι inceperat, cf. Σ) fort. ἀκνάμπτωι, cf. Pind. Pyth. 4.72. Pae. 6.88 post str. 9 (434–8) huc traiectam chori anapaestos desid. Wil.[11] 456–78 nullae personarum notae 456 φίλοισι M: corr. Porson[1] 461 ξυμβάλλει M: corr. Pauw δίκαι M[ss]: -αν ? M[a] δίκα δίκαι Rob., Turn. 462 τάδε suppl. Butler, λιτάς Newman[1] 97, ἀράς Romahn, τέλος Franz, δίκας Hermann[3] 88.94

〈ΧΟ.〉 τρόμος μ' ὑφέρπει κλύουσαν εὐγμάτων.
τὸ μόρσιμον μένει πάλαι,
εὐχομένοις δ' ἂν ἔλθοι.

ὦ πόνος ἐγγενὴς str. 11
καὶ παράμουσος Ἄτας
αἱματόεσσα πλαγά.
ἰὼ δύστον' ἄφερτα κήδη·
ἰὼ δυσκατάπαυτον ἄλγος.

δώμασιν ἔμμοτον ant. 11
τῶνδ' ἄκος, οὐδ' ἀπ' ἄλλων
ἔκτοθεν, ἀλλ' ἀπ' αὐτῶν
δι' ὠμὰν Ἔριν αἱματηράν.
θεῶν 〈τῶν〉 κατὰ γᾶς ὅδ' ὕμνος·

ἀλλὰ κλυόντες μάκαρες χθόνιοι τῆσδε κατευχῆς
πέμπετ' ἀρωγὴν παισὶν προφρόνως ἐπὶ νίκηι.

ΟΡ. πάτερ, τρόποισιν οὐ τυραννικοῖς θανών,
αἰτουμένωι μοι δὸς κράτος τῶν σῶν δόμων.

466 Or. vel El. vel ambobus trib. Σ: choro (inde a 463) Stanley[1]: omnibus universis Kirchhoff[2] ὦ Hermann[3] 88: ἰὼ (469 sq.) M 467 κἀπαράμυθος Heyse (contra Σ) ἄτησ M: corr. Hermann l.c. 468 πλῆγῆ M (ss. M[s]) 470 -παυτον Wecklein[11]: -παυστον M 472 ἄκος (οὐκ) Schütz[6]: ἑκὰσ, M 474 δι' ὠμὰν Klausen, ἔριν (Σ) Hermann[11] 287: αιωμαναιρειν M 475 〈τῶν〉 Wellauer[2] (τᾶν Hermann[3] 89.95) 476 κλύοντες M: corr. Wil.[19] 478 νίκηι Portus[3]: νίκην M 479 Oresti trib. Rob., Turn.: Electrae M (item Mc, sed 480 Or., 481 El.) 480 αἰτούμενόσ M: corr. Turn. (cf. 2.783. Sept. 260)

⟨ΗΛ.⟩ κἀγὼ πάτερ τοιά⟨ν⟩δέ σου χρείαν ἔχω,
φυγεῖν μέγαν, προσθεῖσαν Αἰγίσθωι, ⟨πόνον⟩.
⟨ΟΡ.⟩ οὕτω γὰρ ἄν σοι δαῖτες ἔννομοι βροτῶν
κτιζοίατ'· εἰ δὲ μή, παρ' εὐδείπνοις ἔσηι
ἄτιμος ἐμπύροισι κνισωτοῖς χθονός.
⟨ΗΛ.⟩ κἀγὼ χοάς σοι τῆς ἐμῆς παγκληρίας
οἴσω πατρώιων ἐκ δόμων γαμηλίους·
πάντων δὲ πρῶτον τόνδε πρεσβεύσω τάφον.
ΟΡ. ὦ Γαῖ', ἄνες μοι πατέρ' ἐποπτεῦσαι μάχην.
ΗΛ. ὦ Φερσέφασσα, δὸς δέ γ' εὔμορφον κράτος.
ΟΡ. μέμνησο λουτρῶν οἷς ἐνοσφίσθης πάτερ.
ΗΛ. μέμνησο δ' ἀμφίβληστρον ὡς ἐκαίνισαν.
ΟΡ. πέδαις δ' ἀχαλκεύτοις ἐθηρεύθης πάτερ.
ΗΛ. αἰσχρῶς τε βουλευτοῖσιν ἐν καλύμμασιν.
ΟΡ. ἆρ' ἐξεγείρηι τοῖσδ' ὀνείδεσιν πάτερ;
ΗΛ. ἆρ' ὀρθὸν αἴρεις φίλτατον τὸ σὸν κάρα;

481 τοιάδε M: corr. Turn. (τοιάδε· σοῦ frustra Klausen) 482 ὥστε φυγεῖν τὰς ἐπιβουλὰς Αἰγίσθου τιμωρησαμένην αὐτόν Σ φυγεῖν με λαμπρὸν (... μόρον) Canter ⟨πόνον⟩ Enger[6] 309, nol. Klausen: ⟨μόρον⟩ Turn. 483 Oresti trib. Tyrwhitt[1] 13 485 ἐν πυροῖσι M: corr. Aur.[3], Canter μόνος Maas[6] 489–96 paragraphi in M, Oresti et Electrae recte distrib. Σ et Mc 489 πάτερ M: corr. Rob. 490 Φερσέφασσα Wil.[11] (cf. praef.): περσέ- M δέ τ' M: corr. Hermann[8b] 836 δὲ γαμόρον Schneidewin[0] 492 ὡς Blomf.[13]: ὧι σ' M ἐκοίμισαν Kayser: ἐνήικισαν Dawe[4]: ἐκαίνισας Conington[5] cl. Ag. 1071, quo recepto 493 πέδαις γ' ἀχαλκεύτοισι θηρευθείς Paley[3] fort. ἐθηράθης 494 γε Bourdelot ἐγκαλ- Portus[1] 495 ὀνείδεσσιν M: corr. Rob.

⟨ΟΡ.⟩ ἤτοι Δίκην ἴαλλε σύμμαχον φίλοις
ἢ τὰς ὁμοίας ἀντίδος λαβὰς λαβεῖν,
εἴπερ κρατηθείς γ' ἀντινικῆσαι θέλεις.
⟨ΗΛ.⟩ καὶ τῆσδ' ἄκουσον λοισθίου βοῆς πάτερ,
ἰδὼν νεοσσοὺς τούσδ' ἐφημένους τάφωι·
οἴκτιρε θῆλυν ἄρσενός θ' ὁμοῦ γόον.
⟨ΟΡ.⟩ καὶ μὴ 'ξαλείψηις σπέρμα Πελοπιδῶν τόδε·
οὕτω γὰρ οὐ τέθνηκας οὐδέ περ θανών.
παῖδες γὰρ ἀνδρὶ κληδόνος σωτήριοι
θανόντι· φελλοὶ δ' ὣς ἄγουσι δίκτυον,
τὸν ἐκ βυθοῦ κλωστῆρα σώιζοντες λίνου.
ἄκου'· ὑπὲρ σοῦ τοι ⟨τ⟩άδ' ἔστ' ὀδύρματα,
αὐτὸς δὲ σώιζηι τόνδε τιμήσας λόγον.

498 cf. Hsch. (Cyr.) λ 6 **504** Tz. in Hermog. AO IV 70.1 **505–7** confuse Clem. Str. 2.23.141.3; **506** (φελλοὶ –) cf. Eu. 79.34, 713.33

497–9 Oresti, **500–9** Electrae trib. Tyrwhitt[1] 13 **498** possis τάς ⟨γ'⟩ βλάβασ M (Σ): corr. Canter, cf. Hsch. **501** τάφον Blaydes[2] 334 cl. Ag. 664. Eum. 409.446. fr. 154 a.6 **502** οἴκτειρε M: corr. Kirchhoff[1] γόον Pauw: γόνον M: πόνον Ahrens[7] **503–9** personarum distributio minus certa: 503 Or. 504 El. 505–7 Or. 508–9 El. Hermann[32]: 503–4 Or. 505–7 El. 508–9 Or. Weil[3]: 503–7 Or. 508–9 El. Hartung: 500–4 El. 505–9 Or. Wil.[11]: sicut Hermann sed 508 El. 509 Or. Blass[7] 15: sicut Hartung sed 503 Electrae continuat Sudhaus. symmetria perfecta non exigi potest nisi aut 505–7 deletis aut lacuna alicubi statuta **505–7** (quos Sophocli adscr. Clem.) del. Ludwig 419: post 509 trai. Wil.[11] **505** κληδόνος Sylburg: -νες Σ M Clem. **507** λίνου M[a], υ in ν fecit m. al.: λίνωι Clem. **508** τοι ⟨τ⟩άδ' Headlam[8] 195 (cf. Denniston[3] 542(8)): τοιάδ' M **509** σόν γε ... γόνον Bothe[2] γόον Newman[1] 98

⟨ΧΟ.⟩ καὶ μὴν ἀμεμφῆ τόνδ' ἐτείνατον λόγον,
τίμημα τύμβου τῆς ἀνοιμώκτου τύχης.
τὰ δ' ἄλλ', ἐπειδὴ δρᾶν κατώρθωσαι φρενί,
ἔρδοις ἂν ἤδη δαίμονος πειρώμενος.
⟨ΟΡ.⟩ ἔσται. πυθέσθαι δ' οὐδέν ἐστ' ἔξω δρόμου
πόθεν χοὰς ἔπεμψεν, ἐκ τίνος λόγου,
μεθύστερον τιμῶσ' ἀνήκεστον πάθος.
θανόντι δ' οὐ φρονοῦντι δειλαία χάρις
ἐπέμπετ'· οὐκ ἔχοιμ' ἂν εἰκάσαι τόδε·
τὰ δῶρα μείω δ' ἐστὶ τῆς ἁμαρτίας.
τὰ πάντα γάρ τις ἐκχέας ἀνθ' αἵματος
ἑνός, μάτην ὁ μόχθος· ὧδ' ἔχει λόγος.
θέλοντι δ', εἴπερ οἶσθ', ἐμοὶ φράσον τάδε.
⟨ΧΟ.⟩ οἶδ', ὦ τέκνον, παρῆ γάρ. ἔκ τ' ὀνειράτων
καὶ νυκτιπλάγκτων δειμάτων πεπαλμένη
χοὰς ἔπεμψε τάσδε δύσθεος γυνή.
ΟΡ. ἦ καὶ πέπυσθε τοὔναρ, ὥστ' ὀρθῶς φράσαι;
ΧΟ. τεκεῖν δράκοντ' ἔδοξεν, ὡς αὐτὴ λέγει.
ΟΡ. καὶ ποῖ τελευτᾶι καὶ καρανοῦται λόγος;
⟨ΧΟ.⟩ ἐν σπαργάνοισι παιδὸς ὁρμίσαι δίκην.
⟨ΟΡ.⟩ τίνος βορᾶς χρῄζοντα, νεογενὲς δάκος;
⟨ΧΟ.⟩ αὐτὴ προσέσχε μαστὸν ἐν τὠνείρατι.

510 choro trib. Canter   ἀμεμφῆ τόνδε Canter, ἐτείνατον Hermann[14] 5 sq./79: ἀμόμφητονδετινατὸν M   γόον Wecklein[13]   514 Oresti trib. Rob.   517 θανόντι (Σ) Portus[1]: θανοῦντι M   δ'οὐ φρονοῦντι ΣM: δυσφρονοῦντι Wil.[11]   518 τάδε M[a]   519 μέσω M: corr. Turn. (cf. Σ)   522 οἶσθ[α]ἐμοι M   523 παρῆ Porson[1] (-ῆν iam Portus[2], Canter): πάρει M (ει i.r.): παρῆσ M[γρ]   526–8 paragraphi   526 ὡς τορῶς Wecklein[13] cl. Ag. 1584   de 528 et 534 inter se traiciendis cogit. West[7] (529 ἐν σπαργάνοις τε Weil[11] 125)   530 νεορενὲσ M: corr. Turn. (ἀντὶ τοῦ νέον Σ)   531 μαζὸν M: corr. Blomf.[13] cf. 545.897   τὠνείρατι Bourdelot: τ'ὀν- M: γ' ὀν- Hermann[3] 99

⟨ΟΡ.⟩ καὶ πῶς ἄτρωτον οὖθαρ ἦν ὑπὸ στύγους;
⟨ΧΟ.⟩ ὥστ' ἐν γάλακτι θρόμβον αἵματος σπάσαι.
⟨ΟΡ.⟩ οὔτοι μάταιον ἂν τόδ' ὄψανον πέλοι.
⟨ΧΟ.⟩ ἣ δ' ἐξ ὕπνου κέκλαγεν ἐπτοημένη,
πολλοὶ δ' ἀνῆιθον ἐκτυφλωθέντες σκότωι
λαμπτῆρες ἐν δόμοισι δεσποίνης χάριν.
πέμπει δ' ἔπειτα τάσδε κηδείους χοάς,
ἄκος τομαῖον ἐλπίσασα πημάτων.
⟨ΟΡ.⟩ ἀλλ' εὔχομαι Γῆι τῆιδε καὶ πατρὸς τάφωι
τοὔνειρον εἶναι τοῦτ' ἐμοὶ τελεσφόρον·
κρίνω δέ τοί νιν ὥστε συγκόλλως ἔχειν.
εἰ γὰρ τὸν αὐτὸν χῶρον ἐκλιπὼν ἐμοί
οὔφις †επᾶσασπαργανηπλείζετο†
καὶ μαστὸν ἀμφέχασκ' ἐμὸν θρεπτήριον,

534 (ὄψανον) Hsch. ο 2065, Phot.

---

532 ἄτρωτος Portus[2], Scal.[2] οὖθαρ ἦν Pauw: οὐχαρην M στύγοσ M: corr. Schütz[2] ex Σ 533 ὥς γ' Weil[15] cf. ad Pers. 244 534 ἂν τόδ' ... πέλοι Martin[1] 17: ἀνδρὸσ ... πέλει ΣM 535 κέκλαγεν def. Björck 130.234: κέκλαγγεν Ahrens[2] 551: κέκραγεν Rob., cf. Hp. Morb. Sacr. 15,5 536 ἀνῆιθον Valckenaer[3] ad Hdt. 4.145: ἀνῆλθον M, ἀνέλαμψαν Σ: ἀνῆιθοντ' Meineke[3] 218 538 δ' Bourdelot: τ' M 542 συσκόλλωσ M: corr. Vict., cf. Σ 543 ἐκλείπων M (-ειν M[a]): corr. Blomf.[13] 544 οὐφεῖσ M: corr. Porson[9] 211 ἐμοῖσι σπαργάνοις id. (σπαργάνοις iam Turn.): ἐπ' ἀμὰ σπάργαν' Klausen: ἐπάιξας σπάργαν' Bamberger[2] 564/62, possis et ἔμ' ἄιξας: ἔπειτα Martin[1] 17 ἡπλοίζετο (quasi ἁπλοΐδα induebat) Pauw: ἡρπαλίζετο Franz: ⟨ἄμ'⟩ ηὐλίζετο Bamberger l.c.: ἡλελίζετο Metzger: εἱλίσσετο Faehse 325: ηὐνάζετο Blaydes[2] ἐπιμελείας ἠξιοῦτο Σ 545 μασθὸν M: corr. Elmsley[6] ad Bacch. 700

θρόμβωι δ' ἔμειξεν αἵματος φίλον γάλα,
ἣ δ' ἀμφὶ τάρβει τῶιδ' ἐπώιμωξεν πάθει,
δεῖ τοί νιν, ὡς ἔθρεψεν ἔκπαγλον τέρας,
θανεῖν βιαίως· ἐκδρακοντωθεὶς δ' ἐγὼ
κτείνω νιν, ὡς τοὔνειρον ἐννέπει τόδε.
ΧΟ. τερασκόπον δὴ τῶνδε σ' αἱροῦμαι πέρι,
γένοιτο δ' οὕτως. τἄλλα δ' ἐξηγοῦ φίλοις,
τοὺς μέν τι ποιεῖν, τοὺς δὲ μή τι δρᾶν λέγων.
⟨ΟΡ.⟩ ἁπλοῦς ὁ μῦθος· τήνδε μὲν στείχειν ἔσω,
⟨ὑμᾶς δὲ . . . .⟩
αἰνῶ δὲ κρύπτειν τάσδε συνθήκας ἐμάς,
ὡς ἂν δόλωι κτείναντες ἄνδρα τίμιον
δόλωι γε καὶ ληφθῶσιν, ἐν ταὐτῶι βρόχωι
θανόντες, ἧι καὶ Λοξίας ἐφήμισεν,
ἄναξ Ἀπόλλων, μάντις ἀψευδὴς τὸ πρίν.
ξένωι γὰρ εἰκώς, παντελῆ σαγὴν ἔχων,
ἥξω ξὺν ἀνδρὶ τῶιδ' ἐφ' ἑρκείους πύλας
Πυλάδηι – ξένος δὲ καὶ δορύξενος δόμων –
ἄμφω δὲ φωνὴν ἥσομεν Παρνησσίδα,
γλώσσης ἀϋτὴν Φωκίδος μιμουμένω.
καὶ δὴ θυρωρῶν οὔ τις ἂν φαιδρᾶι φρενί

546 τ' Hermann[32] ἔμιξεν M: corr. Kirchhoff[2] **547** ταρβί M: corr. Porson[1] **551** paragraphus δὴ Kirchhoff[2]: δὲ M: τε Blass[8] (et 552 θ' post Weil[13] 73) **553** μέν Aur.[3]/Portus[2]: δ' ἔν M (˝ M[s]) ποῦ δεῖ τι … ποῦ δὲ Weil[13] 74 **554** στίχειν M: corr. Porson[1] lac. stat. West[7]: e.g. ⟨ὑμᾶς δὲ μίμνειν ἐκτὸς ἑρκείων πυλῶν⟩ **555** αἰνῶ] ὑμᾶς Wecklein[13] **556** κτείναντασ M: corr. Rob., Turn. **557** δόλωι γε Pauw: δόλω (-ωι M[s]) τε M: δόλοισι Hartung **560** σάγην M **561** ξὺν Porson[1]: σὺν M ερκίουσ M: corr. Turn. **562** del. F. W. Schmidt 73 ξένος δὲ vel φίλος δὲ Meineke[3] 218: ξένος τὲ M: ξένωι τε καὶ δορυξένωι Burgersdijk 150 **563** ἥσομεν Turn.: οἴσομεν M

δέξαιτ', ἐπεὶ δὴ δαιμονᾶι δόμος κακοῖς·
μενοῦμεν οὕτως, ὥστ' ἐπεικάζειν τινά
δόμους παραστείχοντα καὶ τάδ' ἐννέπειν·
"τί δὴ πύλησι τὸν ἱκέτην ἀπείργεται
Αἴγισθος, εἴπερ οἶδεν ἔνδημος παρών;"
εἰ δ' οὖν ἀμείψω βαλὸν ἑρκείων πυλῶν
κἀκεῖνον ἐν θρόνοισιν εὑρήσω πατρός,
ἢ καὶ μολὼν ἔπειτά μοι κατὰ στόμα
ἐρεῖ – σάφ' ἴσθι, καὶ κατ' ὀφθαλμοὺς λαβών
πρὶν αὐτὸν εἰπεῖν "ποδαπὸς ὁ ξένος;" νεκρόν
θήσω, ποδώκει περιβαλὼν χαλκεύματι·
φόνου δ' Ἐρινὺς οὐχ ὑπεσπανισμένη
ἄκρατον αἷμα πίεται τρίτην πόσιν.
νῦν οὖν σὺ μὲν φύλασσε τἀν οἴκωι καλῶς,
ὅπως ἂν ἀρτίκολλα συμβαίνηι τάδε·
ὑμῖν δ' ἐπαινῶ γλῶσσαν εὔφημον φέρειν,
σιγᾶν θ' ὅπου δεῖ καὶ λέγειν τὰ καίρια.
τὰ δ' ἄλλα τούτωι δεῦρ' ἐποπτεῦσαι λέγω
ξιφηφόρους ἀγῶνας ὀρθώσαντί μοι.

ΧΟ. πολλὰ μὲν γᾶ τρέφει str. 1
δεινὰ {καὶ} δειμάτων ἄχη,

566 (δαιμονᾶι) Hsch. δ 70, Phot. δ 14, Sud. δ 114 571 (βαλόν) Hsch. β 172, AB 224.16 580 (ἀρτίκολλα) Hsch. α 7507

566 λέξαιτ' M: corr. Turn. 567 αὔτως Kirchhoff[2] (αὔτως iam de Jongh) possis ἔπη βάζειν (contra Σ) 568 δόμοισ M: corr. Boissonade παραστίχοντα M: corr. Vict. 569 δὴ'ν Headlam[6] 248 πυλήισι M ἀπείργεται[ε] Mc 571 βαλῶν M: corr. M[s] ἑρκείων Stanley[1]: ἑρκίον M[s]: ἕρκειον M 574 λαβών West[7]: βαλεῖν M 'simul atque eum vel in conspectu cepero (nedum in colloquio)' 579 νῦν οὖν Erfurdt[3?]: σὺ⟦ν'⟧οὖν M: οὐκοῦν Kirchhoff[2] 581 ὑμᾶς anon.[1], Casaub.[1] cf. Supp. 996, contra Cho. 715 584 ὀρθώσοντί Portus[2] (contra Σ) 585 γᾶ Porson[1]: γὰρ M (γὴ Mc) 586 καὶ del. Heath

πόντιαί τ' ἀγκάλαι
κνωδάλων ἀνταίων
βρύουσι {πλάθουσι}· βλάπτουσι καὶ πεδαίχμιοι
λαμπάδες πεδάοροι
πτανά τε καὶ πεδοβάμονα· κἀνεμόεντ' ἂν
αἰγίδων φράσαι κότον·

ἀλλ' ὑπέρτολμον ἀν- ant. 1
δρὸς φρόνημα τίς λέγοι
καὶ γυναικῶν φρεσίν
τλαμόνων {καὶ} παντόλμους
ἔρωτας, ἄταισι συννόμους βροτῶν;
ξυζύγους δ' ὁμαυλίας
θηλυκρατὴς ἀπέρωπος ἔρως παρανικᾶι
κνωδάλων τε καὶ βροτῶν.

ἴστω δ', ὅστις οὐχ ὑπόπτερος str. 2
φροντίσιν,

600 (ἀπέρωπος) Phryn. PS 10.18 B., Hsch. α 6032, Et. M. 120.42

---

589 βρύουσι Hermann[32]: βροτοῖσι M (in fine versus prioris) πλάθουσι (sc. πλήθουσι [Portus[2], Scal.[2]] gl. ad βρύουσι) del. Schwenck βλάπτουσι Butler: βλαστοῦσι Σ M μεταίχμιοι Turn. 590 πεδάοροι Portus[2]: πεδαμαροι M, πέδουροι ci. M[s] (ἵν' ἦι τὸ σημαινόμενον μετέωροι): πεδάμεροι Bourdelot, cf. Σ 590 αἱ ἀκτῖνες τοῦ ἡλίου αἱ καθημεριναί 591 sq. πτῆ[α]νά M (ss. M[s]) κἀνεμόεντ' ἂν Blomf.[13]: -οέντων M 596 φρεσίν Σ[λ]: φρεσσὶν M 597 τλημόνων M: corr. Hermann[3] 101 καὶ del. Klausen 599 ξυζύγου Enger[0] 600 ἀπέρωποσ Σ M[a] testes (-πὸς Hsch. cod., Et. Magn.): ἀπ'ἔρωτοσ M[s] 601 παρανικᾶι ex -νεικᾶ M[s] u. v.: ἄρα νικᾶι Hartung: παρακινεῖ I. Müller 20, cf. Soph. Ant. 792 603 ἵστωρ ὅστις Heyse contra Σ ὑποπτέροις Σ

δαεὶς τὰν ἁ παιδολύ-
μας τάλαινα Θεστιὰς
μήσατο
πυρδαὴς γυνὰ πρόνοι-
αν, κ⟨ατ⟩αίθουσα παιδὸς δαφοινόν
δαλὸν ἥλικ', ἐπεὶ μολὼν
ματρόθεν κελάδησε,
ξύμμετρόν τε δια⟨ὶ⟩ βίου
μοιρόκραντον ἐς ἦμαρ.

ἄλλα⟨ν⟩ δ' ἐστὶν ἐν λόγοις στυγεῖν, ant. 2
φοινίαν
κόραν, ἅτ' ἐχθρῶν ὑπαὶ
φῶτ' ἀπώλεσεν φίλον,
Κρητικοῖς
χρυσεοδμήτοισιν ὅρ-
μοις πιθήσασα, δώροισι Μίνω,
Νῖσον ἀθανάτας τριχὸς
νοσφίσασ' ἀπροβούλως

604 τὰν δαεῖσ' ἁ (retento 614 Σκύλλαν) Hermann[32] -λυμὰς Dind.[4] **607** πυρδαὴς Σ: -δαῆ M γυνὰ Page[3] (cf. Bacchyl. 5.139): τινα M πυρδαῆ ⟨μῆ⟩τιν προνοίαι Tucker[3] **608** κ'αἰθοῦσα M (αἴθ- M[s]): corr. Canter δαφοινοῦ Schütz[4] **609** ἅλικ' Tucker[3] **611** διὰ M: corr. Canter **612** μοιρόκραντον Σ M[s]: -τοσ M δ'ἐσ M: corr. Turn. (δ' non respicit Σ) ἆμαρ Dind.[4] **613** ἀλλὰ M: corr. Portus[1], Canter δή τιν' Σ M: corr. Hermann[21] ad O.R. 688: δ' ἦν τιν' Weil[15]: δεῖ τιν' Turn. **614** κόραν Merkel[2?]: σκύλλαν M: γυναῖχ' Paley[7] ὑπαὶ M (cf. Il. 16.438. Eur. Med. 487. Cycl. 605): ὕπερ Porson[1] **615** ἀπόλεσεν M: corr. Rob. **617** χρυσεοκμήτοισιν Musgrave: -δμάτοισιν Conington[5] **618** πειθ- M: corr. Abresch I 450 δόροισι M: corr. Asul. μεινω M[a] **620** ἀπροβούλωσ Σ M (cf. Ag. 15.290): -λωι Page[3]: προβούλως Porson[1]

πνέονθ' ἃ κυνόφρων ὕπνωι·
κιγχάνει δέ νιν Ἑρμᾶς.

ἐπεὶ δ' ἐπεμνασάμαν ἀμειλίχων str. 3
πόνων, ἄκαιρ' οὐδὲ δυσφιλὲς γαμή-
λευμ' ἀπεύχετον δόμοις
γυναικοβούλους τε μήτιδας φρενῶν
ἐπ' ἀνδρὶ τευχεσφόρωι
†ἐπ' ἀνδρὶ δηΐοισ ἐπικότω σέβασ†.
τίω δ' ἀθέρμαντον ἑστίαν δόμων,
γυναικείαν ἄτολμον αἰχμάν.

κακῶν δὲ πρεσβεύεται τὸ Λήμνιον ant. 3
λόγωι· γοᾶται δὲ δὴ τόδ' ἓν κατά-
πτυστον, ἤικασεν δέ τις
τὸ δεινὸν αὖ Λημνίοισι πήμασιν.

622 κι⟦γ⟧χάνει M μιν M: corr. Blomf.[13] Ἑρμᾶς (cf. fr. 273. 384) Blaydes[5] 193: -ῆσ M 623–30 post 638 trai. Preuss 623 ἐπεμνήσαμεν M, ά supra ή M[s]: corr. Heath (-μνησάμην), Dind.[12] 624 φόνων Schütz[4]: πόθων Portus[2] ἄκαιρ' οὐδὲ Stinton[6] 260: ἀκαίρωσ δὲ M 626 φρενῶν M (Σ): possis θροεῖν 627 om. M, marg. rest. M[s]; ἐπ' ἀνδρὶ fort. errore iteratum est 628 ἐπ' ἀνδρὶ φοβερῶι καὶ σεβαστῶι καὶ παρὰ τοῖς πολεμίοις Σ δήιοισιν D'Arnaud 240 (δάιοισιν Hermann[3] 103, -οις id.[8] 803): λαοῖς Paley[2] ἐπεικότως ἔβαν amicus Scholefieldii (ἔβας Verrall[8], ἔβα Murray[1]) possis ⟨ὃς ἔσκε⟩ (Pers. 656) λαοῖς ἐπικρατὲς σέβας (Cho. 54.157) 629 τίω Portus[2]: τίων M 630 γυναικείαν Σ M: -ειᾶν Schoene: -είαν ⟨τ'⟩ Hermann[3] 103 αἰχμὰν Σ M[c]: αἰχμᾶν M[a] 631 Λάμνιον Tucker[3] (item 634): corruptum esse susp. Dawe[1] 187 632 βοᾶται (cf. Supp. 583. Ag. 1106) Blomf.[13] δὴ τόδ' ἓν West[6] 197 (ἓν iam Enger[0]), sc. hoc Argivum malum: δὴ ποθεῖ M: δημόθεν Hartung: γᾶ πάθος Hermann[32]: δὴ πάθος Paley[3] 634 τόδ' αἰνὸν Bothe[1]

θεοστυγήτωι δ' ἄχει
βροτῶν ἀτιμωθὲν οἴχεται γένος·
σέβει γὰρ οὔτις τὸ δυσφιλὲς θεοῖς.
τί τῶνδ' οὐκ ἐνδίκως ἀγείρω;

τόδ' ἄγχι πλευμόνων ξίφος str. 4
διανταίαν
ὀξυπευκὲς οὐτᾶι
διαὶ Δίκας, τὸ μὴ θέμις, {γὰρ οὐ}
λὰξ πέδον πατουμένας –
τὸ πᾶν Διὸς σέβας παρεκ-
βάντες οὐ θεμιστῶς.

Δίκας δ' ἐρείδεται πυθμήν, ant. 4
προχαλκεύει δ'
Αἶσα φασγανουργός·
τέκνον δ' ἐπεισφέρει δόμοις
αἱμάτων παλαιτέρων

641 (ὀξυπευκές) Hsch. ο 955

---

635 ἄγει Aur.[3] **636** βροτοῖς Wil.[11] (duce Sidgwick[2]) **638** ἐγείρω Erfurdt[3]: ἀείρω West[2] 99 cl. Pers. 547 **639** τόδ' Young[1] 98 (cf. Schadewaldt[1] 332/265): τὸ δ' M ἄχρι Scal.[2] **641** οὐτᾶι Hermann[15]: σοῦται Σ M **642** διαὶ] βίαι Schütz[2] possis τῶι μὴ γὰρ οὐ Σ M: del. Ahrens[7], corruptum u. v. ex γρ. οὐ(τᾶι) vel γρ. οὐ (ad 645) **643** πέδοι Hermann[8] 757 (-οῖ),[32] (πέδωι iam Portus[2]), at cf. Ag. 1357. Call. Hy. 4.227 πατουμένας Ahrens[7]: -ούμενον Σ M **645** παρεκβάντες Σ M: -βάντος Aur.[3]: -βάντας O. Müller[4] 36, at non hos ξίφος οὐτᾶι verum chorum ἀθεμίστωσ M[a], οὐ θεμ- M[c], accentum corr. Dind.[4] **646** δίκ$\overset{α}{η}$σ M (ss. M[s]) **647** προσχαλκεύει M: corr. Jacob[1] **649** fort. τόκον δόμοις Ahrens[2] 551 (cf. Σ ἐπεισφέρει δὲ τοῖς οἴκοις τέκνον παλαιῶν αἱμάτων): διμασε M, cf. ad 650 **650** δωμάτων M: corr. Steph. ex Σ illud διμα(σε), quod supra δωμ. stat, = αιμα

τίνει⟨ν⟩ μύσος χρόνωι κλυτὰ
βυσσόφρων Ἐρινύς.

ΟΡ. παῖ παῖ, θύρας ἄκουσον ἑρκείας κτύπον.
τίς ἔνδον ὦ παῖ; παῖ μάλ' αὖ· τίς ἐν δόμοις;
τρίτον τόδ' ἐκπέραμα δωμάτων καλῶ,
εἴπερ φιλόξεν' ἐστὶν Αἰγίσθου διαί.

ΠΥΛΩΡΟΣ
εἶέν· ἀκούω. ποδαπὸς ὁ ξένος; πόθεν;

ΟΡ. ἄγγελλε τοῖσι κυρίοισι δωμάτων,
πρὸς οὕσπερ ἥκω καὶ φέρω καινοὺς λόγους.
τάχυνε δ', ὡς καὶ νυκτὸς ἅρμ' ἐπείγεται
σκοτεινόν, ὥρα δ' ἐμπόρους μεθιέναι
ἄγκυραν ἐν δόμοισι πανδόκοις ξένων.
ἐξελθέτω τις δωμάτων τελεσφόρος,
γυνὴ †ταπαρχος† – ἄνδρα δ' εὐπρεπέστερον·
αἰδὼς γὰρ ἐν λέσχησιν οὖσ' ἐπαργέμους
λόγους τίθησιν· εἶπε θαρσήσας ἀνὴρ
πρὸς ἄνδρα κἀσήμηνεν ἐμφανὲς τέκμαρ.

651 τίνειν Lachmann[1] 63: τείνει M: τίνει Turn. (cf. Σ ἀπαιτεῖ) κλυτὴ M: corr. Hermann[28] 201 653 paragraphus tantum, item 657.658.668.674.691.700.707 ἑρκείου Blaydes[2], cf. 561 al. 654 αὖ· τίς (τὶς) Schwerdt[1] 10: αὖθις Σ M (Σ τίς ἐν δόμοις = 'ἐν δόμοις cum τίς iunge') 657 Πυλωρός adscr. Murray[1]: Οἰκέτης Turn.: Παῖς Rob. 661 καθιέναι Musgrave 664 τἄπαρχοσ M (ό ss. M[s]): στέγαρχος Bamberger[4]: τ' ἔπαρχος Hermann[3] 109: γ' ἄπαρχος Ahrens[0]: γ' ἐπαρκές Headlam[1] 38: σταθμοῦχος Blaydes[5], cf. fr. 226 δ' Turn.: τ' M 665 λέσχαισιν Emperius[2] 451 et iam ap. Ahrens[2] 552, -ησιν Wil.[11]: λεχθεῖσιν M. cf. Σ ἐν ταῖς πρὸς γυναῖκας ὁμιλίαις (ita Vict. pro ὁμοίαις) οὖσ' Bothe[1]: οὐκ Σ M

ΚΛΥΤΑΙΜΗΣΤΡΑ

ξένοι, λέγοιτ' ἂν εἴ τι δεῖ· πάρεστι γὰρ
ὁποῖάπερ δόμοισι τοῖσδ' ἐπεικότα,
καὶ θερμὰ λουτρὰ καὶ πόνων θελκτηρία
στρωμνή, δικαίων τ' ὀμμάτων παρουσία.
εἰ δ' ἄλλο πρᾶξαι δεῖ τι βουλιώτερον,
ἀνδρῶν τόδ' ἐστὶν ἔργον, οἷς κοινώσομεν.

ΟΡ. ξένος μέν εἰμι Δαυλιεὺς ἐκ Φωκέων·
στείχοντα δ' αὐτόφορτον οἰκείαι σαγῆι
εἰς Ἄργος, ὥσπερ δεῦρ' ἀπεζύγην πόδας,
ἀγνὼς πρὸς ἀγνῶτ' εἶπε συμβαλὼν ἀνήρ,
ἐξιστορήσας καὶ σαφηνίσας ὁδόν,
Στροφίος ὁ Φωκεύς (πεύθομαι γὰρ ἐν λόγωι),
"ἐπείπερ ἄλλως ὦ ξέν' εἰς Ἄργος κίεις,
πρὸς τοὺς τεκόντας πανδίκως μεμνημένος
τεθνεῶτ' Ὀρέστην εἰπέ, μηδαμῶς λάθηι.
εἴτ' οὖν κομίζειν δόξα νικήσει φίλων,
εἴτ' οὖν μέτοικον εἰς τὸ πᾶν αἰεὶ ξένον
θάπτειν, ἐφετμὰς τάσδε πόρθμευσον πάλιν.
νῦν γὰρ λέβητος χαλκέου πλευρώματα
σποδὸν κέκευθεν ἀνδρὸς εὖ κεκλαυμένου."
τοσαῦτ' ἀκούσας εἶπον. εἰ δὲ τυγχάνω
τοῖς κυρίοισι καὶ προσήκουσιν λέγων,
οὐκ οἶδα· τὸν τεκόντα δ' εἰκὸς εἰδέναι.

ΚΛ. οἲ 'γώ, κατ' ἄκρας εἶπας ὡς πορθούμεθα.
ὦ δυσπάλαιστε τῶνδε δωμάτων Ἀρά,

670 θελκτηρία Pearson[1]: -ήρια· M: -ήριος Ludwig 404 675 οἰκίαισάγη M: corr. Turn. (σάγη) 678 σαφηνισθεὶς Heimsoeth[1] 44, cf. Σ ἐρωτήσας καὶ μαθών 681 μεμνημένωσ M[a] 682 εἶπε M: corr. Rob. 684 ἀεὶ M: χρόνου Blaydes[5] ex Eum. 670 691 Clytaemestrae trib. Portus[1]: Electrae Turn. εἶπας Bamberger[4]: ἐνπᾶσ M (πᾶσ' M[s])

ὡς πόλλ' ἐπωπᾶις κἀκποδὼν εὖ κείμενα·
τόξοις πρόσωθεν εὐσκόποις χειρουμένη
φίλων ἀποψιλοῖς με τὴν παναθλίαν.
καὶ νῦν Ὀρέστης, ἦν γὰρ εὐβούλως ἔχων,
ἔξω κομίζων ὀλεθρίου πηλοῦ πόδα –
νῦν δ' ἥπερ ἐν δόμοισι βακχείας κακῆς
ἰατρὸς ἐλπὶς ἦν, προδοῦσαν ἔγγραφε.
ΟΡ. ἐγὼ μὲν οὖν ξένοισιν ὧδ' εὐδαίμοσιν
κεδνῶν ἕκατι πραγμάτων ἂν ἤθελον
γνωτὸς γενέσθαι καὶ ξενωθῆναι· τί γὰρ
ξένου ξένοισίν ἐστιν εὐμενέστερον;
πρὸς δυσσεβείας ⟨δ'⟩ ἦν ἐμοὶ τόδ' ἐν φρεσίν,
τοιόνδε πρᾶγμα μὴ καρανῶσαι φίλοις
καταινέσαντα καὶ κατεξενωμένον.
ΚΛ. οὔτοι κυρήσεις μείον' ἀξίων σέθεν,
οὐδ' ἧσσον ἂν γένοιο δώμασιν φίλος.
ἄλλος δ' ὁμοίως ἦλθεν ἂν τάδ' ἀγγελῶν.
ἀλλ' ἔσθ' ὁ καιρὸς ἡμερεύοντας ξένους
μακρᾶς κελεύθου τυγχάνειν τὰ πρόσφορα·
ἄγ' αὐτὸν εἰς ἀνδρῶνας εὐξένους δόμων,

694 πρόσωθεν ⟨δ'⟩ Headlam[8] 198 695 φίλων ⟨δ'⟩ Paley[3], ⟨τ'⟩ Hartung 697 κομίζων Σ: νομίζων M post h.v. excidisse nonnulla ci. Blaydes[5] 698 βακχίασ M: corr. Turn. κακῆς Portus[1]: καλῆσ ΣM: ζάλης Emperius[0]: καλή Wecklein[2] 721 699 προδοῦσαν Pauw, ἔγγραφε Steph.: παροῦσαν ἐγγράφει· M, sed τάξον αὐτὴν ἀφανισθεῖσαν Σ ἐγγράφου Canter: -ω Blaydes[5]: -εις Heath: ἔκγραφε Schwerdt[1] 16, cf. Eur. El. 1073: -εις Wil.[11] 700 μὲν ὢν M, οὖν ss. M[s] 702 γνωστὸσ M: corr. Dind.[13] 704 ⟨δ'⟩ Aur.[3]/Portus[2] 707 μείον' Blass[8]: μείων M[a], μεῖον M[c] ἀξίων (Σ) Pauw: ἀξίωσ M: ἀξίας Burney[2] 710 ἡμερ- M 712–4 om. M (homoeoteleuton), marg. rest. M[s]

ὀπισθόπους τε τούσδε καὶ ξυνεμπόρους,
κἀκεῖ κυρούντων δώμασιν τὰ πρόσφορα.
αἰνῶ δὲ πράσσειν ὡς ὑπευθύνωι τάδε.
ἡμεῖς δὲ ταῦτα τοῖς κρατοῦσι δωμάτων
κοινώσομέν τε κοὐ σπανίζοντες φίλων
βουλευ⟨σ⟩όμε⟨σ⟩θα τῆσδε συμφορᾶς πέρι.

ΧΟ. εἶέν, φίλιαι δμωΐδες οἴκων,
πότε δὴ στομάτων δείξομεν ἰσχὺν ἐπ' Ὀρέστηι;
ὦ πότνια Χθὼν καὶ πότνι' ἀκτὴ
χώματος, ἣ νῦν ἐπὶ ναυάρχωι
σώματι κεῖσαι τῶι βασιλείωι,
νῦν ἐπάκουσον, νῦν ἐπάρηξον·
νῦν γὰρ ἀκμάζει Πειθὼ δολία⟨ν⟩ ξυγκαταβῆναι,
χθόνιον δ' Ἑρμῆν καιρὸς νυχίοις τοῖσδ' ἐφεδρεῦσαι
ξιφοδηλήτοισιν ἀγῶσιν.

— ἔοικεν ἁνὴρ ὁ ξένος τεύχειν κακόν·
τροφὸν δ' Ὀρέστου τήνδ' ὁρῶ κεκλαυμένην.

713 ὀπισθόπουν δὲ τόνδε (τοῦδε Hermann) καὶ ξυνέμπορον Pauw τε Portus[2]: δὲ M[s] 714 σώμασιν Voss, cf. Soph. Ph. 287 715 ἐπευθύνω M (-ωι M[s]): corr. Turn., cf. Σ 716 paragraphus 717 κοινώσωμέν M: corr. Mc 718 βουλευόμεθα M: corr. Turn. (-μεσθα), Steph. 719 paragraphus, item 730 δμωιΐδεσ M 722 πότνια χθὼν καὶ susp. Weil[15] καὶ] ὦ Blaydes[2] 723 ἧ τῶιδ' Meineke[3] 219 724 τῶι del. Meineke[0] 726 δολίαν Portus[2], cf. Σ 727 b: δολία M, Σ 726 727 ἑρμῆα M: corr. Turn. 728 καιρὸς (cf. 710) West[7], νυχίοις Blaydes[2] 336: καὶ τὸν νύχιον M: del. Hermann[9] 33 sq./115, νύχιον pro χθόνιον scribens ἐφεδρεῦσαι (vel ἐφορεῦσαι) Conington[5]: ἐφοδεῦσαι Σ M 730 ante h. v. deest fort. versus qualis καὶ μὴν στεναγμὸν ἐν δόμοις κλύω τινά· cf. Taplin 345 sq. ἀνὴρ M[uv]: corr. Porson[1]

ποῖ δὴ πατεῖς Κίλισσα δωμάτων πάρος;
λύπη δ' ἄμισθός ἐστί σοι ξυνέμπορος.

⟨ΤΡΟΦΟΣ⟩

Αἴγισθον ἡ κρατοῦσα τοῖς ξένοις καλεῖν
ὅπως τάχιστ' ἄνωγεν, ὡς σαφέστερον
ἀνὴρ ἀπ' ἀνδρὸς τὴν νεάγγελτον φάτιν
ἐλθὼν πύθηται τήνδε. πρὸς μὲν οἰκέτας
θέτο σκυθρωπὸν ὄμμα, τόν γ' ἐντὸς γέλων
κεύθουσ' ἐπ' ἔργοις διαπεπραγμένοις καλῶς
κείνηι, δόμοις δὲ τοῖσδε παγκάκως ἔχει
φήμης ὕφ' ἧς ἤγγειλαν οἱ ξένοι τορῶς.
ἦ δὴ κλυὼν ἐκεῖνος εὐφρανεῖ νόον,
εὖτ' ἂν πύθηται μῦθον. ὢ τάλαιν' ἐγώ·
ὥς μοι τὰ μὲν παλαιὰ συγκεκραμένα
ἄλγη δύσοιστα τοῖσδ' ἐν Ἀτρέως δόμοις
τυχόντ' ἐμὴν ἤλγυνεν ἐν στέρνοις φρένα,
ἀλλ' οὔτί πω τοιόνδε πῆμ' ἀνεσχόμην.
τὰ μὲν γὰρ ἄλλα τλημόνως ἤντλουν κακά·
φίλον δ' Ὀρέστην, τῆς ἐμῆς ψυχῆς τριβήν,
ὃν ἐξέθρεψα μητρόθεν δεδεγμένη,
καὶ νυκτιπλάγκτων ὀρθίων κελευμάτων
⟨. . . . .⟩
καὶ πολλὰ καὶ μοχθήρ' ἀνωφέλητ' ἐμοί

732 πατεῖς] περᾶις Paley[6] πάρος Herwerden[5] 150: πύλασ M 734 Nutrici trib. Rob., Turn.: nulla nota τοῖς ξένοις Pauw: τοὺσ ξένουσ Σ M 738 ὄμμα, τὸν δ' ἐντὸς Ahrens[7] (γ' West[7]): ἐντὸσ ὀμμάτων M 740 ἔχει (Σ) Rob., Turn.: ἔχειν M 741 ὕφ' Abresch I 467: ὑφ' M ἣν Blaydes[2] 336 contra Σ 742 paragraphus κλύων M ἐκεῖνον M: corr. Rob. 747 fort. τοσόνδε cf. Pers. 781.477 (contra Σ) ἠνεσχόμην Pierson[2] 176, cf. praef. post 750 lac. stat. Schütz[2], post 751 Hermann[3] 111: e.g. ⟨πολλῶν κλυούσηι πράγματ' ἐμπέδως παρῆν⟩ 752 ἢ πολλὰ Musgrave ἀνωφελῆ τ' M[as]

τλάσηι· τὸ μὴ φρονοῦν γὰρ ὡσπερεὶ βοτόν
τρέφειν ἀνάγκη, πῶς γὰρ οὔ; τρόπωι φρενός·
οὐ γάρ τι φωνεῖ παῖς ἔτ' ὢν ἐν σπαργάνοις
εἰ λιμὸς ἢ δίψη τις ἢ λιψουρία
ἔχει· νέα δὲ νηδὺς αὐτάρκης τέκνων.
τούτων πρόμαντις οὖσα, πολλὰ δ' οἴομαι
ψευσθεῖσα παιδὸς σπαργάνων φαιδρύντρια,
κναφεὺς τροφεύς τε ταὐτὸν εἰχέτην τέλος.
ἐγὼ διπλᾶς δὴ τάσδε χειρωναξίας
ἔχουσ' Ὀρέστην ἐξεθρεψάμην πατρί·
τεθνηκότος δὲ νῦν τάλαινα πεύθομαι.
στείχω δ' ἐπ' ἄνδρα τῶνδε λυμαντήριον
οἴκων· θέλων δὲ τόνδε πεύσεται λόγον.
⟨ΧΟ.⟩ πῶς οὖν κελεύει νιν μολεῖν ἐσταλμένον;
⟨ΤΡ.⟩ τί πῶς; λέγ' αὖθις, ὡς μάθω σαφέστερον.
⟨ΧΟ.⟩ εἰ ξὺν λοχίταις εἴτε καὶ μονοστιβῆ.
⟨ΤΡ.⟩ ἄγειν κελεύει δορυφόρους ὀπάονας.
ΧΟ. μή νυν σὺ ταῦτ' ἄγγελλε δεσπότου στύγει,
ἀλλ' αὐτὸν ἐλθεῖν ὡς ἀδειμάντως κλύηι
ἄνωχθ' ὅσον τάχιστα γαθούσηι φρενί.

759 Poll. 7.40 761 (χειρ., cf. Prom. 45) Phryn. PS 125.13 B.

---

754 τρόπωι obscurum (ἐπιμελείαι ψυχῆς Σ): τρίβωι Headlam[6] 248 (cf. Σ 749) 756 εἰ Stanley[1]: ἢ M. cf. Page ad Eur. Med. 493 759 φαιδύντρια Bamberger[4], cf. praef. 760 κναφεὺς Dobree[2] ad Plut. 166: γναφεὺσ M στροφεύσ M: corr. Ma: τροφός Aur.[3] 761 δὴ Paley[7]: δε M 762 ἐξεθρεψάμην Aur.[3]/Portus[1], cf. Σ ἔθρεψα, ἀνέσωσα: ἐξεδεξάμην M (ex 750?) πατρός M[s] 764 στείχων M: corr. Asul. 765 τόνδε ... λόγον Blomf.[13]: τῶνδε ... λόγων M 767 τί πῶς; Canter: ἢ πῶσ. M: ὅπως; Schütz[2] 768 εἰ Turn.: ἢ M 770 paragraphus νῦν M: corr. Stanley[3] ἄγγελε M, item 779 771 ἀδειμάντων Hartung

ἐν ἀγγέλωι γὰρ κυπτὸς ὀρθοῦται λόγος.
ΤΡ. ἀλλ' ἦ φρονεῖς εὖ τοῖσι νῦν ἠγγελμένοις;
ΧΟ. ἀλλ' εἰ τροπαίαν Ζεὺς κακῶν θήσει ποτέ;
ΤΡ. καὶ πῶς; Ὀρέστης ἐλπὶς οἴχεται δόμων.
ΧΟ. οὔπω· κακός γε μάντις ἂν γνοίη τάδε.
ΤΡ. τί φῄς; ἔχεις τι τῶν λελεγμένων δίχα;
ΧΟ. ἄγγελλ' ἰοῦσα, πρᾶσσε τἀπεσταλμένα·
μέλει θεοῖσιν ὧνπερ ἂν μέληι πέρι.
ΤΡ. ἀλλ' εἶμι καὶ σοῖς ταῦτα πείσομαι λόγοις·
γένοιτο δ' ὡς ἄριστα σὺν θεῶν δόσει.

ΧΟ. νῦν παραιτουμέναι μοι πάτερ — str. 1
Ζεῦ θεῶν Ὀλυμπίων
δὸς †τύχας τυχεῖν δέ μου
κυρίως τὰ σωφροσυνευ†
μαιομένοις ἰδεῖν.
διὰ δίκας ἅπαν ἔπος ἔλακον·
Ζεῦ, σὺ δέ νιν φυλάσσοις.

773 sch. bT Il. 15.207, Eu. 1013.12

---

773 Euripidi trib. testes (non recipit Nauck): susp. Pearson[1] κυπτὸς sch. Hom. b: κρυπτοσ M sch. Hom. T Eust. ὀρθοῦται λόγος testes: ὀρθούσῃ φρενὶ· M ex 772 774–81 (etiam 780) paragraphi 776 fort. Ὀρέστης ⟨δ'⟩ 780 μέλει Asul.: μέλλει M: μέλοι (cf. Ag. 974) Heath μέλῃ Asul.: μέλλῃ M 783 paragraphus παραιτοῦμεν ἐμοὶ M (-ουμέν' M[s]): corr. Turn. (-μένηι), Hermann[32], cf. Σ 785 sq. δός μοι εὐτυχίαν εὐτυχῆσαι βεβαίως Σ τύχασ· M ⟨νιν⟩ τυχεῖν Schütz[6], ⟨εὖ⟩ τυχεῖν Bamberger[4], ⟨εὐ⟩τυχεῖς Page[3], omnes δέ μου delentes (Schütz[2]) δόμου κυρίοις Bothe[2] κυρίους Musgrave: καιρίως Burney[2] σώφρον' εὖ Hermann[3] 114, αὖ Verrall[8] μαιομένας Paley[1]: (δόμους … εὖ) ναιομένους Metzger 787 διὰ δίκας (Σ) Pauw, ἅπαν de Jongh: διαδικᾶσαι πᾶν M 788 δέ del. Hermann[18] 536

ἄϊε ⟨Ζεῦ⟩, πρὸ δὲ δὴ'χθρῶν τὸν ἔσω⟨θεν⟩ str. 2
μελάθρων ὦ {Ζεῦ} θές, ἐπεί νιν μέγαν ἄρας,
δίδυμα καὶ τριπλᾶ παλίμ-
ποινα θέλων ἀμείψει.

ἴσθι δ' ἀνδρὸς φίλου πῶλον εὖ- ant. 1
νιν ζυγέντ' ἐν ἅρμασιν,
βημάτων ἐν δρόμωι
προστιθεὶς μέτρον τι καὶ
σωιζόμενος ῥυθμόν·
τοῦτ' ἰδεῖν, δάπεδον ἀνομένων
†βημάτων† ὄρεγμα.

οἵ τ' ἔσωθε δωμάτων str. 3
πλουτογαθῆ μυχὸν κομίζετε,
κλῦτε σύμφρονες θεοί·
ἄγετε ⟨– ◡ – ◡ – ⏓⟩

793 (παλίμποινα) cf. P. Hib. II p. 3 ii 25 799 (ὄρεγμα) Hsch. ο 1130

789–93 ∼ 826–30] responsionem invenit Hermann[32] 789 ἄϊε ⟨Ζεῦ⟩ Weil[15]: ἒ ἒ M δὲ δάιων Weil[3] τὸν ἔσωθεν Seidler[1] 406: τῶν ἔσω M 790 sq. Ζεῦ del. Heimsoeth[1] 455 praeeunte Bamberger[4] μιν M: corr. Seidler l. c. 793 ἀμείψηι Turn., sed obstat θέλων 795 ἅρμασι Σ: ἅρματι M 796 βημάτων (cf. 799) Grotefend 793: πημάτων Σ M ⟨δ'⟩ ἐν Portus[2]: ⟨σὺ δ'⟩ ἐν O. Müller[4] 40, cf. 785 797 προστίθει Bamberger[4] contra Σ τι καὶ Davies: τίσ ἂν M, τις ἂν Σ: κτίσον Ahrens[7] σωιζόμενος Blaydes[5]: σωζόμενον Σ M[c], -ώμενον M[a]: -ομένων Bamberger[4]: -ομένου ῥυθμοῦ post Aur.[3] (ῥυμοῦ) Bourdelot 798 ἀνωμένων vel ἀναμένων M[a] 799 e. g. εὐθὺ ποδῶν West[7] 800 ἔσω Hermann[3] 115 (∼ 812) 801 πλουταγαθῆ M: corr. Turn. κομίζετε Hermann[3] 115. 118 (ἡνιοχεῖτε καὶ διοικεῖτε Σ): νομίζετε M 802 κλῦτε Dind.[4]: κλύετε M σώφρονεσ M[as] 803 lac. stat. Lachmann[1] 76 (sed post θεοί)

τῶν πάλαι πεπραγμένων
λύσασθ' αἷμα προσφάτοις δίκαις·
γέρων φόνος μηκέτ' ἐν δόμοις τέκοι.

τὸ δὲ καλῶς κτίμενον ὦ μέγα ναίων mesod.
στόμιον, εὖ δὸς ἀνιδεῖν δόμον ἀνδρός,
καί νιν ἐλευθερίας
λαμπρὸν ἰδεῖν ⟨φῶς⟩ φιλίοις
ὄμμασι⟨ν ἐκ⟩ δνοφερᾶς καλύπτρας.

ξυλλάβοι δ' ⟨ἂν⟩ ἐνδίκως ant. 3
παῖς ὁ Μαίας, ἐπεὶ φορώτατος
πρᾶξιν οὐρίσαι θέλων.
πολλὰ δ' ἄλλ' ἔφανε χρήιζων,
{κρυπτά} ἄσκοπον κλέπος τελῶν·
νύκτωρ τ' ὀμμάτων σκότον φέρει,
κατ' ἡμέραν δ' οὐδὲν ἐμφανέστερος.

805 αἷμα λύσασθε Nägelsbach[1] 18, cf. 817 προφάτοισ M[as] 807 τὸ δὲ Rob.: τόδε M (ο ex α vel ω): σὺ δὲ Paley[6] κτίμενον Bamberger[2] 566/64: κτάμενον Σ M[s], κταμενων M[a]: κάτω κλύμενον Schoemann[4] 91 809 ἐλευθερίωσ | λαμπρῶσ ἰδεῖν φιλίοισ M: corr. Ahrens[7] (φάος), Weil[3] (λαμπρὸν iam Bamberger[4]): ἐλευθερί⟨ας φ⟩ῶς λ. ἰ. φ. Dind.[12] 811 ⟨ἐκ⟩ Hermann[8] 759 812 ⟨ἂν⟩ Lachmann[1] 76: ξυλλάβοι⟨το⟩ Weil[3] 813 ἐπεὶ φορώτατος Emperius ap. Bamberger[2] 566/64: ἐπιφορ- M: φορ. θεῶν Dind.[13] 383 a 814 οὐρίσαι Conington[5]: οὐρίαν M θελε͂ν M (ω ss. M[s]): θεῶν possis (duce Dind., cf. ad 813): (οὐρίαν) τελῶν anon.[1], τελεῖν Jacob[2] 815 πολέα Weil[3] πόλλ' ἄδηλ' Wil.[18] 211 n. 3 ἔφανε id.[11]: φανεῖ (εῖ i. r.) M: φανερώσει Σ alter, εὑρίσκει alter 816 κρυπτά· (τάσ M[a]?) del. Hermann[32] κλέπος τελῶν West[6] 197: δ' ἔπος λέγων M (Σ?) 817 νύκτωρ τ' Heyse: νύκτα πρό τ' Σ M: νύκτα πρόσθ' Portus[2]: νυκτὸς προὐμμάτων Bamberger[2] 567/65 818 καθ'ἡμέραν M μεθ' Emperius[0], Paley[1] ἁμέραν Tucker[3] ἐμφανέστερον Portus[2]

καὶ τότ' ἤδη κλυτόν str. 4
δωμάτων λυτήριον
θῆλυν οὐριοστάταν
[– ∪]κρεκτον γοήτων νόμον
μεθήσομεν. πλεῖ τάδ' εὖ·
ἐμὸν ἐμὸν κέρδος αὔξεται τόδ', ἄ-
τα δ' ἀποστατεῖ φίλων.

σὺ δὲ θαρσῶν ὅταν ἥκηι μέρος ἔργων ant. 2
ἐπαῦσας {πατρὸς ἔργωι} θρο⟨ε⟩οῦσαι
πρὸς σὲ "τέκ'νον"
"πατ'ρός" αὖδα, καὶ πέραιν'
οὐκ ἐπίμομφον ἄταν,

Περσέως τ' ἐν φρεσίν ant. 4
⟨τλᾶθι⟩ καρδίαν σχεθών

832 cf. Hsch. σ 2973

---

819 τότ' ἤδη Blomf.[13]: τότε δὴ M κλυτὸν Bamberger[4]: πλόυτον ΣM: πολὺν Blomf.[13]: χυτῶν αἱμάτων (cf. 805. Eum. 682) Garvie[5]: τότ' εἰ δή ποτ' οὖν Enger[5] 444 820 δωμάτων ΣM, cf. 942: δειμάτων Ahrens[7], cf. Soph. El. 635 sq. 822 ὑ..̀(.)κρεκτὸν M[a] puto (sc. ὑψίκρεκτον?): ὁμοῦ κρεκτὸν ΣM[r]: ὀξύκρεκτον Kirchhoff[2]: οὐδὲ κρεκτὸν Blomf.[13] γοήτων ΣM (γοητῶν M[a]): γοατὰν Hermann[32]: βοάταν Bothe[2]: βοατὸν Enger l.c. νόμων M[a] 823 πλεῖ Kirchhoff[2]: πόλει, ΣM 824 ἀέξεται M (αὔ- M[a]?) 825 ἄτῃ M (ss. M[s]) 827 sq. πατρὸς ἔργωι (ΣM) del. Hermann[3] 116; fuerat v.l. ad μέρος ἔργων θροόυσαι M: corr. G.C.W. Schneider 829 sq. fort. πατέρος (∼792) αὐδᾶν M[a], -ὰν ΣM[s]: corr. Bourdelot possis αὐδάσας πέραιν' πέραιν' (Aur.[3]/Portus[2]) οὐκ Blomf.[13]: περαίνων ΣM ἐπίμομφαν M: corr. Rob., Turn.: ἀνεπίμ- Schütz[6] 831 δ' Stanley[2] φρεσσὶν M: corr. Asul. 832 ⟨τλᾶθι⟩ West[7]: ⟨πρᾶσσε⟩ Wil.[11]: καρδίαν ⟨σχεδρὰν⟩ Weil[3]: alii alia σχέθων M: corr. Wellauer[2] ex Elmsleii praecepto (ad Hcld. 272. Med. 995)

τοῖς ϑ' ὑπὸ χϑονὸς φίλοις
τοῖς τ' ἄνωϑεν προπράσσων χάριν,
Γοργοῦς λυγρᾶς ἔνδοϑεν
φόνιον ἄταν τιϑείς, ἀναίτιον δ'
ἐξ 'Απόλλωνος μόρον.

ΑΙΓΙΣΘΟΣ

ἥκω μὲν οὐκ ἄκλητος ἀλλ' ὑπάγγελος·
νέαν φάτιν δὲ πεύϑομαι λέγειν τινάς
ξένους μολόντας, οὐδαμῶς ἐφίμερον,
μόρον γ' 'Ορέστου. καὶ τόδ' αὖ φέρειν δόμοις
γένοιτ' ἂν ἄχϑος αἱματοσταγές, φόνωι
τῶι πρόσϑεν ἑλκαίνουσι καὶ δεδηγμένοις.
πῶς ταῦτ', ἀληϑῆ καὶ βλέποντα δοξάσω;
ἢ πρὸς γυναικῶν δειματούμενοι λόγοι
πεδάρσιοι ϑρώισκουσι, ϑνήισκοντες μάτην;
τί τῶνδ' ἂν εἴποις ὥστε δηλῶσαι φρενί;

833 ϑ' Rob.: δ' M φίλοις Hermann[3] 116: -οισιν M **834** χάριν Heimsoeth[1] 478: χάριτοσ M **835** Γοργοῦς Kirchhoff[2]: ὀργᾶσ ΣM λυγρᾶς Blomf.[13]: λυπρᾶσ M **836 sq.** φόνιον Heimsoeth[1] 13: φονίαν Σ in paraphr., φοινίαν M ἀναίτιον δ' ἐξ Ἀπόλλωνος (cf. 830.1031) West[7]: τὸν αἴτιον δ' ἐξαπολλὺσ M (τὸν Αἴγισϑον Σ): ἐξαπολλύων Heimsoeth[1] 14, μόρου Turn. **838** ὑπ' ἀγγέλου Blomf.[13] (-ων Blaydes[2]) cl. Soph. Tr. 391 sq. Ai. 289 **841** γ' Aur.[3]/Portus[2]: δ' M αὖ Blomf.[13]: ἀμ- M: ἂν Turn. **842** αἱματοσταγὲς Aur.[3]/Portus[2] (ὡς ἐπὶ μαχαίρας Σ): δείματοστάγεσ (ex 845) M (γ'ἐσ M[s], -σταγὲς Vict.) **843** ἑλκαίνοντι καὶ δεδηγμένωι ΣM: corr. Bamberger[4] **844** μῶν Blaydes[5] **846** ϑνήσκοντες M, cf. 844. Ag. 486: -ντος Portus[1], cf. Σ οὐκ ἀληϑῶς ἀποϑανόντες (-ος Blomf.) et Soph. El. 63

ΧΟ. ἠκούσαμεν μέν, πυνθάνου δὲ τῶν ξένων
εἴσω παρελθών. οὐδὲν ἀγγέλων σθένος
ὡς αὐτὸν ἀνδρὸς ἄνδρα πεύθεσθαι πάρα.
⟨ΑΙ.⟩ ἰδεῖν ἐλέγξαί τ' εὖ θέλω τὸν ἄγγελον,
εἴτ' αὐτὸς ἦν θνῄσκοντος ἐγγύθεν παρών
εἴτ' ἐξ ἀμαυρᾶς κληδόνος λέγει μαθών.
οὔτοι φρέν' ἄ⟨ν⟩ κλέψειεν ὠμματωμένην.

ΧΟ. Ζεῦ Ζεῦ, τί λέγω;
πόθεν ἄρξωμαι τάδ' ἐπευχομένη κἀπιθεάζουσ',
ὑπὸ δ' εὐνοίας πῶς ἴσον εἰποῦσ' ἀνύσωμαι;
νῦν γὰρ μέλλουσι μιανθεῖσαι
πειραὶ κοπάνων ἀνδροδαΐκτων
ἢ πάνυ θήσειν Ἀγαμεμνονίων
οἴκων ὄλεθρον διὰ παντός,
ἢ πῦρ καὶ φῶς ἐπ' ἐλευθερίαι
δαίων ἀρχάς τε πολισσονόμους ⟨. . .⟩
ἕξει, πατέρων μέγαν ὄλβον.
τοιάνδε πάλην μόνος ὢν ἔφεδρος δισσοῖς μέλλει
θεῖος Ὀρέστης ἅψειν· εἴη δ' ἐπὶ νίκηι.

849 εἴσω Blomf.[13]: ἔσω M 850 αὐτὸν (Canter) ἀνδρὸς Weil[14] 21 (praeeunte Pauw): αὐτὸσ αὐτὸν M. cf. 666 sq. 736 πάρα Aur.[3]/Portus[2]: πέρι M 851 εὖ M[a]: αὖ M[s] 852 ἦεν θνήσκοντοσ M[sr] (fuerat η.ν...(.)τοσ): corr. Turn. 854 φρέν' ἂν Monk[2] ad Hipp. 482, Elmsley[2] 67 n., Hermann[12] ad Ai. 627: φρένα M κλέψειεν Steph.: κλέψειαν M (-ει' ἂν Bourdelot; ἂν bis Monk, Elmsley) 856 κἀπιθεάζουσ' Schütz[6]: καἰπιθοάζουσα M (οα M[sr]) 857 sq. neque εὐνοίας neque ἴσον intelligo. an ἐκνοίας? ἀνύσωμαι sic M 860 vel -δαϊκτῶν 864 lac. stat. Hermann[32] supplens ⟨πλοῦτόν τε δόμων⟩ 865 πατέρων θ' ἕξει Weil[3] ⟨καὶ⟩ μέγαν Wil.[11] 867 θεῖος Turn.: θείοισ M: θηρσὶν Wecklein[11] 868 νίκη M (et West[2] 100)

(βοὴ ἔνδοθεν)
ἐέ· ὀτοτοτοῖ.
ΧΟ. ἔα ἔα μάλα·
πῶς ἔχει; πῶς κέκρανται δόμοις;
ἀποσταθῶμεν πράγματος τελουμένου,
ὅπως δοκῶμεν τῶνδ' ἀναίτιαι κακῶν
εἶναι· μάχης γὰρ δὴ κεκύρωται τέλος.
⟨ΟΙΚΕΤΗΣ⟩
οἴμοι, πανοίμοι δεσπότου †τελουμένου†·
οἴμοι μάλ' αὖθις ἐν τρίτοις προσφθέγγμασιν·
Αἴγισθος οὐκέτ' ἐστίν. ἀλλ' ἀνοίξατε
ὅπως τάχιστα, καὶ γυναικείους πύλας
μοχλοῖς χαλᾶτε· καὶ μάλ' ἡβῶντος δὲ δεῖ –
οὐχ ὡς δ' ἀρῆξαι διαπεπραγμένωι· τί γάρ;
ἰού ἰού.
κωφοῖς ἀϋτῶ καὶ καθεύδουσιν μάτην
ἄκραντα βάζω. ποῖ Κλυταιμήστρα; τί δρᾶι;
⟨ΧΟ.⟩ ἔοικε νῦν αὐτῆς ἐπιξήνου πέλας
αὐχὴν πεσεῖσθαι πρὸς Δίκης πεπληγμένος.

869 βοὴ ἔνδοθεν adscr. West[7]: paragr. M: ΑΙΓΙΣΘΟΣ Rob., Turn., sed fort. potius famulorum est clamor, nam ἐέ et ὀτοτοτοῖ lugentium voces sunt, morientium ὤιμοι vel ἰώ μοι. cf. Schadewaldt[1] 321 n. 1/256 n. 28 871 πῶς alterum del. Wil.[11] 872 ἀποστατῶμεν nol. Abresch I 497 875 ΟΙΚΕΤΗΣ Turn.: ἐξάγγελος Σ 899: nulla nota πὰν·οἴμοι M: μάλ' οἴμοι Canter τελουμένου (ex 872)] πεπληγμένου Schütz[6]: τετυμμένου Weil[3] 876 προσφθέγ⟦γ⟧μασιν M, v. praef. 880 διαπεπραγμένωι Σ[uv], Turn.: -μένων M 882 βάζω; Blaydes[2], cf. Sept. 202 ποῖ M, cf. Eur. Herc. 74 sq.: ποῦ Elmsley[8] 287 883 choro trib. Portus[1]: nulla nota αὖ τῆσδ' Martin[1] 22 (τῆς Verrall[8]) ἐπιξήνου Abresch I 501: ἐπὶ ξυροῦ M 884 δίκην M puto: corr. Hermann[32] πεπληγμένης Turn.

ΚΛ. τί δ' ἐστὶ χρῆμα; τίνα βοὴν ἵστης δόμοις;
ΟΙ. τὸν ζῶντα καίνειν τοὺς τεθνηκότας λέγω.
ΚΛ. οἴ'γώ· ξυνῆκα τοὔπος ἐξ αἰνιγμάτων·
δόλοις ὀλούμεθ', ὥσπερ οὖν ἐκτείναμεν.
δοίη τις ἀνδροκμῆτα πέλεκυν ὡς τάχος·
εἰδῶμεν εἰ νικῶμεν ἢ νικώμεθα.
ἐνταῦθα γὰρ δὴ τοῦδ' ἀφικόμην κακοῦ.

ΟΡ. σὲ καὶ ματεύω· τῶιδε δ' ἀρκούντως ἔχει.
ΚΛ. οἴ'γώ· τέθνηκας, φίλτατ' Αἰγίσθου βία.
ΟΡ. φιλεῖς τὸν ἄνδρα; τοιγὰρ ἐν ταὐτῶι τάφωι
κείσηι· θανόντα δ' οὔτι μὴ προδῶις ποτε.
ΚΛ. ἐπίσχες ὦ παῖ, τόνδε δ' αἴδεσαι, τέκνον,
μαστόν, πρὸς ὧι σὺ πολλὰ δὴ βρίζων ἅμα
οὔλοισιν ἐξήμελξας εὐτραφὲς γάλα.
ΟΡ. Πυλάδη, τί δράσω; μητέρ' αἰδεσθῶ κτανεῖν;

ΠΥΛΑΔΗΣ
ποῦ δαὶ τὰ λοιπὰ Λοξίου μαντεύματα
τὰ πυθόχρηστα, πιστά τ' εὐορκώματα;
ἅπαντας ἐχθροὺς τῶν θεῶν ἡγοῦ πλέον.

898 Tz. Exeg. Il. 62.15 H., Hist. 12.801

885 δ' del Page[3] 887 οἲ ἐγὼ M (item 893.928) τ'οῦποσ M 889 δ]οίη M[sr] ἀνδροδμῆτα Aur.[3] 890 εἰ Turn.: ἢ M. cf. ad 756 892 σέ τοι Blomf.[13] τῶιδὲτ' M[a] u.v. 893 βία; Tucker[3] 896 δ' αἴδεσαι Sophianus, Turn.: δήσεται M: τ' αἴδεσαι Blaydes[2] 897 ὧι σὺ Rob.: ὠκὺ M 898 εὐτρεφὲς Tz. utroque loco 900 δὴ Porson[1]; cf. P.T. Stevens, Colloquial Expressions in Eur. 45 sq. τὰ λοιπὰ] cf. 212. Sept. 66: τὸ λοιπὸν Nauck[6] 206 901 πυθόχριστα M, corr. m. al. δ' M: corr. Hermann[32]

ΟΡ. κρίνω σὲ νικᾶν, καὶ παραινεῖς μοι καλῶς.
ἕπου, πρὸς αὐτὸν τόνδε σὲ σφάξαι θέλω·
καὶ ζῶντα γάρ νιν κρείσσον' ἡγήσω πατρός.
τούτωι θανοῦσα ξυγκάθευδ', ἐπεὶ φιλεῖς
τὸν ἄνδρα τοῦτον, ὃν δὲ χρῆν φιλεῖν στυγεῖς.
ΚΛ. ἐγώ σ' ἔθρεψα, ξὺν δὲ γηράναι θέλω.
ΟΡ. πατροκτονοῦσα γὰρ ξυνοικήσεις ἐμοί;
ΚΛ. ἡ Μοῖρα τούτων ὦ τέκνον παραιτία.
ΟΡ. καὶ τόνδε τοίνυν Μοῖρ' ἐπόρσυνεν μόρον.
ΚΛ. οὐδὲν σεβίζηι γενεθλίους ἀράς, τέκνον;
ΟΡ. τεκοῦσα γάρ μ' ἔρριψας εἰς τὸ δυστυχές.
ΚΛ. οὔτοι σ' ἀπέρριψ' εἰς δόμους δορυξένους.
ΟΡ. ἀικῶς ἐπράθην ὢν ἐλευθέρου πατρός.
ΚΛ. ποῦ δῆθ' ὁ τῖμος ὅντιν' ἀντεδεξάμην;
ΟΡ. αἰσχύνομαί σοι τοῦτ' ὀνειδίσαι σαφῶς.
ΚΛ. μὴ ἀλλ' εἴφ' ὁμοίως καὶ πατρὸς τοῦ σοῦ μάτας.
ΟΡ. μὴ ἔλεγχε τὸν πονοῦντ' ἔσω καθημένη.
ΚΛ. ἄλγος γυναιξὶν ἀνδρὸς εἴργεσθαι, τέκνον.
ΟΡ. τρέφει δέ γ' ἀνδρὸς μόχθος ἡμένας ἔσω.
ΚΛ. κτενεῖν ἔοικας ὦ τέκνον τὴν μητέρα.
ΟΡ. σύ τοι σεαυτήν, οὐκ ἐγώ, κατακτενεῖς.
ΚΛ. ὅρα, φύλαξαι μητρὸς ἐγκότους κύνας.

904 παρ' Herwerden[5] 151 malim πρὸς αὐτῶι τῶιδε (contra Σ) 905 κρέσσον' (ο ex ω) M: corr. Turn. 906 ξυγ- Wellauer[2]: συγ- M 907 οὓς δὲ Blass[8] δ'ἐχρῆν M: corr. Wecklein[11] 908 σὺν Aur.[3] (ξὺν Schütz[2]): νῦν M τε Blaydes[2] 339 utrum γηράναι (Σ M) an γηρᾶναι (Klausen) scribendum incertum; v. C. R. Barton, Glotta 60, 1982, 31 sqq. 910 παναιτία Bothe[2]: παραίτιος Blaydes[2] 155 cl. fr. 44.7 (contra Cho. 100.873) 911 ἐπώρσυνεν M: corr. Mb Mc: πορσύνει nol. de Jongh 915 αἰκῶς Bothe[2]: διχῶσ M: αἰσχρῶς Heath 917 σου M: corr. Canter, cf. Σ ἑτέρωι συγκοιμωμένη (-ηι) 918 μὴ del. Hermann[32] 921 γ M[sr]

ΟΡ. τὰς τοῦ πατρὸς δὲ πῶς φύγω παρεὶς τάδε;
ΚΛ. ἔοικα θρηνεῖν ζῶσα πρὸς τύμβον μάτην.
ΟΡ. πατρὸς γὰρ αἶσα τόνδε σοὐρίζει μόρον.
ΚΛ. οἲ'γώ, τεκοῦσα τόνδ' ὄφιν ἐθρεψάμην·
ἦ κάρτα μάντις οὑξ ὀνειράτων φόβος.
ΟΡ. κάνες τὸν οὐ χρῆν· καὶ τὸ μὴ χρεὼν πάθε.

ΧΟ. στένω μὲν οὖν καὶ τῶνδε συμφορὰν διπλῆν·
ἐπεὶ δὲ πολλῶν αἱμάτων ἐπήκρισε
τλήμων Ὀρέστης, τοῦθ' ὅμως αἱρούμεθα,
ὀφθαλμὸν οἴκων μὴ πανώλεθρον πεσεῖν.

— ἔμολε μὲν δίκα Πριαμίδαις χρόνωι, str. 1
βαρύδικος ποινά·
ἔμολε δ' εἰς δόμον τὸν Ἀγαμέμνονος
διπλοῦς λέων, διπλοῦς ἄρης·
ἔλασε δ' εἰς τὸ πᾶν
ὁ πυθόχρηστος φυγάς
θεόθεν εὖ φραδαῖσιν ὡρμημένος.

932 (ἐπήκρισεν) Paus. Att. α 55 (unde Eu. 1636.49), Hsch. ε 4545, Phot.

---

927 αἷμα Blaydes[2] 266 σοὐρίζει (= σοι ὀρ-) Pauw (praeeunte Scal.[2]): σ'ὀρίζει M^c, πορ- M^s: σοὐρ- (= σοι οὐρ-) Blomf.[13], cf. Sept. 690: ἐπουρίζει Hermann[3] 124 929 paragr. in M: Clytaemestrae contin. Scal.[2] 930 ἔκανες (ὃν vel γ' ὃν) Pauw, at cf. 738 τὸν Hermann ad Eur. Bacch. (1823) xx: γ'ὃν M: possis et θ' ὃν 931 τοῖνδε Wecklein[1] 17 936 καρύδικοσ M: corr. Vict. 938 δίπους λέων Jacob[2], cf. Ag. 1258. Supp. 895 ⟨δ'⟩ Ἄρης Blaydes[2] 939 ἔλασε Pauw ex Σ (ἤλασεν): ἔλακε M δ'ἐσ M: δ' εἰς Garvie[5] cl. 866 sq. Eum. 200 940 πυθόχρηστος Butler: -χρήσταισ M (ss. M^s): -χρήστοις Heimsoeth[1] 456 contra Σ 941 εὐφραδαῖσιν M: dist. cod. Sambuci

ἐπολολύξατ' ὢ δεσποσύνων δόμων mesod. 1
ἀναφυγᾶι κακῶν καὶ κτεάνων τριβᾶς
ὑπὸ δυοῖν μιαστόροιν,
δυσοίμου τύχας.

ἔμολε δ' ἆι μέλει κρυπταδίου μάχας ant. 1
  δολιόφρων ποινά·
ἔθιγε δ' ἐ⟨ν⟩ μάχαι χερὸς ἐτήτυμος
Διὸς κόρα – Δίκαν δέ νιν
προσαγορεύομεν
βροτοὶ τυχόντες καλῶς –
ὀλέθριον πνέουσ' ἐπ' ἐχθροῖς κότον·

τά⟨ν⟩περ ὁ Λοξίας ὁ Παρνᾱσσίας str. 2
  μέγαν ἔχων μυχὸν
  χθονὸς ἐπωρθίαξεν ἄδολα δολίως

945 cf. Hsch. δ 2623, Sud. δ 1707

942–5 mesodum post antistrophum tamquam ephymnium iteravit G. C. W. Schneider, item 961–4 post 972; cf. ad 971 942 ἐπολολυξάτω M: corr. Seidler[1] 89 943 ἀναφυγᾶι Heimsoeth[1] 278: -γὰσ Σ M τριβὰσ M: corr. Stanley[1] (cf. Σ) 944 ὑπαὶ Hermann[3] 126 δοιοῖν M: corr. Mc 946 ἆι Aur.[3]/Portus[2], cf. Soph. O. R. 377: ὧι M et Σ, qui Aegisthum intelligit: ὧι ″μελεν Heath κρυφαδίου Tucker[3] 947 ποινά (= 936) Σ M: Πειθώ Heyse: Ἑρμᾶς Ahrens[7]: δαίμων Wecklein[11] 948 ἔθιγε Σ M: ἔδικε Verrall[1] 206 δ' ἐν Abresch I 517: δὲ M ἐτητύμως Scal.[2] 952 ἐπ' Hermann[3] 127: ἐν M: (πνέουσ)αν Aur.[3]/Portus[2] contra Σ 953 τάνπερ Jacob, cf. Σ alt. 955–6 ἐπεξῆλθε τὴν δίκην βλαπτομένην … Ὀρέστης: τάπερ M, Σ 953 Παρνασσίας Musgrave: παρνάσσιοσ M 955 ἐπωρθίαξεν (cf. 271) Meineke[3] 220: ἐπ'ὄχθει | ἄξεν M ἄδολα δολίως West[7]: ἀδόλωσ δολίασ M, sed δολίως Σ[uv]: ἀδόλως δόλια Murray[1] (δόλια iam Hermann[3] 128)

βλαπτομέναν· χρονισθεῖσα δ' ἐποίχεται.
κρατεῖ πως τὸ θεῖον· †παρὰ τὸ μὴ†
ὑπουργεῖν κακοῖς·
ἄξιον {δ'} οὐρανοῦχον ἀρχὰν σέβειν.

πάρα τε φῶς ἰδεῖν, μέγα τ' ἀφῃρέθη mesod. 2
ψάλιον οἴκων.
ἄναγε μὰν δόμοι· πολὺν ἄγαν χρόνον
χαμαιπετεῖς ἔκεισθε.

τάχα δὲ παντελὴς πρόμος ἀμείψεται ant. 2
πρόθυρα δωμάτων,
ὅταν ἀφ' ἑστίας μύσος ⟨ἅ⟩παν ἐλάσηι
καθαρμοῖσ⟨ιν⟩ ἀτᾶν ἐλατηρίοις.

956 χρονισθεῖσά γ' Heath, δ' Metzger: ἐν χρόνοισ | θεῖσαν M: χρονισθεῖσαν Σ[uv], sed etiam ἐποίχεται ἡ δίκη 957 συμβάλλεται οὖν τὸ θεῖον τοῖς μὴ ὑπουργοῦσι τοῖς κακοῖς Σ κρατεῖ πως Blomf.[2] 177 (κρατεῖ δέ πως iam Aur.[3]/Portus[1]): κρατεῖται πῶσ M: κρατεῖ τ' αἰεί πως Murray[2] (δ' αἰεί Rose) παρὰ susp. Abresch I 520, del. Hermann[32], qui et τὸ μή ⟨μ'⟩: possis τὸ θεῖον παρὰ ⟨πᾶν⟩, τὸ μή ⟨θ'⟩ 958 κακοὺσ M[as] 959 δ' del. Bothe[1]: ἄξια δ' Hermann[3] 131 961 τὸ φῶς Turn., et ita M post 972 μέγαν τ'ἀφηρέθην M: corr. fere Aur.[3]/Portus[2] (μέγα γ'; μέγα iam Mc[a]) 963 ἄνα γε Heath δόμοι Hermann[32]: δόμοισ M: δόμος Meineke[3] 220 964 ἔκεισθε Wil.[11]: εκεῖσθ'αἰεί· M (ἀεί Asul.): ἔκεισθε δή vel δόμος ... χαμαιπετὴς ἔκεισο δή Meineke l.c. 965 πρόμος Lafontaine: χρόνοσ (ex 963) ΣM: χορὸς Elmsley[5] ad Med. 50 (χορὸς ἀλαστόρων πρόθυρ' ἀμείψεται Schoemann[4] 101): ὄλβος Kayser 967 ἀ⟦μ⟧φ' M ἅπαν Hermann[3] 131: πᾶν M. cf. ad 968 ἐλάσει M (ss. M[s]): ἐλαθῆι Kayser 968 καθαρμοῖσ | M: corr. Hermann l.c. ἀτᾶν Schütz[2] (ἄτας iam Portus[2]): ἅπαν M ἐλατήριον· ΣM: corr. Schütz[2]

τύχαι δ' εὐπρόσωποι †κοίται τὸ πᾶν ἰδεῖν
ἀκοῦσαι† πρευμενεῖς
μέτοικο⟨ι⟩ δόμων, πεσοῦνται πάλιν.

{πάρα τὸ φῶς ἰδεῖν.}

ΟΡ. ἴδεσθε χώρας τὴν διπλῆν τυραννίδα
πατροκτόνους τε δωμάτων πορθήτορας.
σεμνοὶ μὲν ἦσαν ἐν θρόνοις τόθ' ἥμενοι,
φίλοι τε καὶ νῦν, ὡς ἐπεικάσαι πάθει
πάρεστιν, ὅρκός τ' ἐμμένει πιστώμασιν·
ξυνώμοσαν μὲν θάνατον ἀθλίωι πατρί
καὶ ξυνθανεῖσθαι, καὶ τάδ' εὐόρκως ἔχει.
ἴδεσθε δ' αὖτε, τῶνδ' ἐπήκοοι κακῶν,
τὸ μηχάνημα, δεσμὸν ἀθλίωι πατρί,
πέδας τε χειροῖν καὶ ποδοῖν ξυνωρίδα.
ἐκτείνατ' αὐτὸν καὶ κύκλωι παρασταδόν
στέγαστρον ἀνδρὸς δείξαθ', ὡς ἴδηι πατήρ –

980 cf. Hsch. ε 4542

969 τύχαι Scal.[2]: τύχα | Σ M εὐπρόσωποι Bothe[2]: εὐπροσώπωι Σ M κοίται Σ M: τότε καὶ Page[3] τὸ] ο ex ω vel potius α 970 ἀκοῦσαι (Σ M) del. Hermann[3] 131 πρευμενεῖς Musgrave: θρεομένοισ M fort. κατὰ πάντ' ἰδεῖν, κλυταί, πρευμενεῖς 971 sq. μέτοικοι (Σ) Scal.[2]: μετοικο- M παρὰ τὸ φῶς ἰδεῖν, quod statim post πάλιν eadem in linea sequitur, falso ex 961 repetitum videtur, del. Heimsoeth[1] 277.282; tamen cf. ad 942–5 975 ποθ' Bourdelot 976 δὲ Abresch I 525 πάθει Thiersch[1] 45: πάθη M 978 ἀθλίωι Aur.[3]/Portus[2]: -ωσ M. cf. 981 980 αὐτοὶ Blaydes[5]: quidni αὐταί? 982 ξυνωρίδος Hermann[32]: -ίδι Jacobs[2] XI 248 983 αὐτὸν] sc. πέπλον (Eum. 635) sive χιτῶνα: αὐτὸ Aur.[3] περισταδόν Paley[1] post h. v. fr. 375 ἀμήχανον τέχνημα καὶ δυσέκδυτον (τεύχημα καὶ δυσέκλυτον codd.) inserere possis

οὐχ οὑμός, ἀλλ' ὁ πάντ' ἐποπτεύων τάδε –
{῞Ηλιος ἄναγνα μητρὸς ἔργα τῆς ἐμῆς}
ὡς ἂν παρῆι μοι μάρτυς ἐν δίκηι ποτέ
ὡς τόνδ' ἐγὼ μετῆλθον ἐνδίκως μόρον
τὸν μητρός· Αἰγίσθου γὰρ οὐ λέγω μόρον,
ἔχει γὰρ αἰσχυντῆρος, ὡς νόμος, δίκην.
τί νιν προσειπὼν ἂν τύχοιμ' ἂν εὐστομῶν;
ἄγρευμα θηρός, ἢ νεκροῦ ποδένδυτον
δροίτης κατασκήνωμα; δίκτυον μὲν οὖν
ἄρκύν τ' ἂν εἴποις καὶ ποδιστῆρας πέπλους.
τοιοῦτον ἂν κτήσαιτο φιλήτης ἀνήρ,
ξένων ἀπαιόλημα κἀργυροστερῆ
βίον νομίζω⟨ν⟩· τῶιδέ τἂν δολώματι
πολλοὺς ἀναιρῶν πολλὰ θερμαίνοι φρένα.
ἥτις δ' ἐπ' ἀνδρὶ τοῦτ' ἐμήσατο στύγος
ἐξ οὗ τέκνων ἤνεγχ' ὑπὸ ζώνην βάρος –
φίλον τέως, νῦν δ' ἐχθρόν, ὡς φαίνει, κακόν –
τί σοι δοκεῖ, μύραινά γ' εἴτ' ἔχιδν' ἔφυ,

986 del. Barrett; cf. Supp. 140. Eum. 1045 987 possis ἐν δίκηι Χρόνου (Solon. 36,3) contra Σ 988 φόνον Rhode 989 λέγω Σ: ψέγω M: ψέδω Young[1] 88 990 νόμου M: corr. Aur.[3], Canter 997–1004 huc trai. Proctor (cf. Lloyd-Jones[4] 181–4) contra Σ: post 982 Scholefield: post 1013 Weil[3] 997 προσειπὼν ἂν τύχοιμ' ἂν (cf. 316.418. Ag. 622.1232) Ahrens[7]: προσείπω κἂν τύχω μάλ' M (ἀντὶ ἐπιτύχω εὐθίκτως κακολογήσας Σ): καὶ τύχω Portus[2]: προσειπὼν καὶ τύχω Weil[3], qui et de εὐστοχῶν cogit. 1000 τ' Hermann[32]: δ' M 1001 τοιοῦτον ἂν Turn.: τοιοῦτο μὰν M (τοῖ- M[a]): τοιοῦτό γ' ἂν Schütz[6] 1003 νομίζω M: corr. Turn. τἂν Blomf.[13]: τ'ἂν M: γ' ἂν anon.[1] 1004 ἂν αἱρῶν Bamberger[4] φρένα Lobeck[1] 302: φρενί· M 992 ἐκ σοῦ M: corr. Rob. verba reliqua scripsit M[s] ην ἔχη M[s]: corr. Turn. (ἤνεγκ'), Vict. 993 φαίνει κακόν coniungunt quidam 994 γ' εἴτ' Hermann[3] 133: τ'ἤτ' (ss. M[s])

σήπειν θιγοῦσ' ἂν ⟨μ⟩ᾶλλον, οὐ δεδηγμένον,
τόλμης ἕκατι κἀκδίκου φρονήματος;
τοιάδ' ἐμοὶ ξύνοικος ἐν δόμοισι μὴ
γένοιτ'· ὀλοίμην πρόσθ⟨εν⟩ ἐκ θεῶν ἄπαις.
⟨ΧΟ.⟩ αἰαῖ ⟨αἰαῖ⟩ μελέων ἔργων· str.
στυγερῶι θανάτωι διεπράχθης·
ἐέ· μίμνοντι δὲ καὶ πάθος ἀνθεῖ.
ΟΡ. ἔδρασεν ἢ οὐκ ἔδρασε; μαρτυρεῖ δέ μοι
φάρος τόδ', ὡς ἔβαψεν Αἰγίσθου ξίφος·
φόνου δὲ κηκὶς ξὺν χρόνωι ξυμβάλλεται
πολλὰς βαφὰς φθείρουσα τοῦ ποικίλματος.
νῦν αὐτὸν αἰνῶ, νῦν ἀποιμώζω παρὼν
πατροκτόνον θ' ὕφασμα προσφωνῶν τόδε.
ἀλγῶ μὲν ἔργα καὶ πάθος γένος τε πᾶν,
ἄζηλα νίκης τῆσδ' ἔχων μιάσματα –
⟨ΧΟ.⟩ οὔτις μερόπων ἀσινῆ βίοτον ant.
διὰ πάντ' ⟨ἂν⟩ ἄτιμος ἀμείψαι·
ἐέ· μόχθος δ' ὃ μὲν αὐτίχ', ὃ δ' ἥξε⟨ι⟩.

995 θιγοῦσ' ἂν Rob., Turn., μᾶλλον Hermann[32]: θίγουσαν ἄλλον M 996 κἀκδίκου Ahrens[2] 552: κἀνδίκου M: κἀδίκου Turn. 1006 πρόσθ' M: corr. Turn. 1007 choro trib. Rob., Turn.: nulla nota (sed 1010 paragr.) αἶ αἶ M, iteravit Bothe[1] 1008 διεπράχθη Heimsoeth[1] 63 1009 ἐέ· M, cf. ad 1020 (ἐέ inter anapaestos Eur. Hipp. 1354, et 208[vl]. Med. 111[vl]): αἳ αἳ αἳ αἳ Wellauer[2] 1011 φάρος Porson[1]: φᾶροσ M 1012 κικὶσ M, corr. M[s]: κηλὶς nol. Abresch I 529 τῶι χρόνωι Herwerden[5] 151 1015 γ' Page[3] προσφέρων Pauw (malim προσφορῶν): προσφαίνων Bothe[1] 1016 πάθας Weil[3] possis γένους τὸ πᾶν 1017 σκυλεύματα Wecklein[11]: μηνύματα Blaydes[5] 1018–20 choro trib. Aur.[3], Canter: nulla nota 1018 ἀσινεῖ M[a]: ἀσινὴς Herwerden[1] 104, cf. Eum. 315 1019 πάντ' ⟨ἂν⟩ Blaydes[2]: πάντ' Σ[uv] M: παντὸς Heath rhythmo abnormi ἀμείψαι Bothe[1]: ἀμείψεται (965) Σ M 1020 ἓε Klausen: ἐσ M: αἰαῖ αἰαῖ Bamberger[4] μόχθο||| M (fuerat -θω), nec plura: suppl. M[s] ἥξε M[s]: corr. Turn.

⟨ΟΡ.⟩ ἀλλ' ὡς ἂν εἰδῆτ' – οὐ γὰρ οἶδ' ὅπηι τελεῖ,
ὥσπερ ξὺν ἵπποις ἡνιοστροφῶν δρόμου
ἐξωτέρω· φέρουσι γὰρ νικώμενον
φρένες δύσαρκτοι· πρὸς δὲ καρδίαι Φόβος
ἄιδειν ἕτοιμος, ἣ δ' ὑπορχεῖσθαι Κότωι –
ἕως δ' ἔτ' ἔμφρων εἰμί, κηρύσσω φίλοις
κτανεῖν τέ φημι μητέρ' οὐκ ἄνευ δίκης,
πατροκτόνον μίασμα καὶ θεῶν στύγος,
καὶ φίλτρα τόλμης τῆσδε πλειστηρίζομαι
τὸν πυθόμαντιν Λοξίαν, χρήσαντ' ἐμοί
πράξαντι μὲν ταῦτ' ἐκτὸς αἰτίας κακῆς
εἶναι, παρέντα δ', οὐκ ἐρῶ τὴν ζημίαν,
τόξωι γὰρ οὔτις πημάτων ἐφίξεται.
καὶ νῦν ὁρᾶτέ μ', ὡς παρεσκευασμένος
ξὺν τῶιδε θαλλῶι καὶ στέφει προσίξομαι
μεσόμφαλόν θ' ἵδρυμα, Λοξίου πέδον,
πυρός τε φέγγος ἄφθιτον κεκλημένον,
φεύγων τόδ' αἷμα κοινόν· οὐδ' ἐφ' ἑστίαν
ἄλλην τραπέσθαι Λοξίας ἐφίετο.
τάδ' ἐν χρόνωι μοι πάντας Ἀργείους λέγω
⟨μνήμηι φυλάσσειν οἵ'⟩ ἐπορσύνθη κακά
καὶ μαρτυρεῖν μοι, Μενέλεως ⟨ἐὰν μόληι·⟩

1021 ἀλλ' ὡς ἂν Blomf.[13], εἰδῆτ' Martin[1] 23, οὐ γὰρ Erfurdt[0]: ἀλλοσ ἂν εἰ δὴ τόυτ'ἄρ M ὅποι Blomf.[13], cf. Sept. 659 1022 ἡνιοστροφῶν Weil[3]: -στρόφου M: -στροφῶ Stanley[1] 1024 sq. κότος … φόβωι Schütz[6] ἣ δ' Abresch I 529: ἠδ' M κρότωι Abresch l.c. 1026 ἕωσ δέ τ' in spat. vac. suppl. M[s] (δ' ἔτ' Rob., Turn.) 1029 ἐπιστηρίζομαι Hartung 1031 πράξαντα Portus[3] 1032 παρέντι Turn. 1033 ἐφίξεται Schütz[6] (cf. Σ): προσίξεται (1035) M 1038 ἐφέστιον M: corr. Turn. 1041 a/b καὶ μαρτυρεῖν μοι μενέλεωσ ἐπορσύνθη κακά M: duos versus divisit et transposuit Franz, fere ut supra suppl. Wil.[11] (οἵ' iam Heimsoeth[1] 113, cf. Pers. 267; ὅταν μόληι Wil., ἐὰν Croiset 231 n. 1, cf. Pers. 529): aliter Blomf.[13] (καὶ μαρτυρεῖν μὲν ὡς ἐπ. κ.,

ἐγὼ δ' ἀλήτης τῆσδε γῆς ἀπόξενος
⟨. . . . .⟩
ζῶν καὶ τεθνηκὼς τάσδε κληδόνας λιπών.
⟨ΧΟ.⟩ ἀλλ' εὖ τ' ἔπραξας, μηδ' ἐπιζευχθῆι⟨ς⟩ στόμα
φήμηι πονηρᾶι μηδ' ἐπιγλωσσῶ κακά,
ἐλευθερώσας πᾶσαν Ἀργείων πόλιν,
δυοῖν δρακόντοιν εὐπετῶς τεμὼν κάρα.
⟨ΟΡ.⟩ ἆ ἆ·
σμοιαὶ γυναῖκες αἵδε Γοργόνων δίκην
φαϊοχίτωνες καὶ πεπλεκτανημέναι
πυκνοῖς δράκουσιν· οὐκέτ' ἂν μείναιμ' ἐγώ.
ΧΟ. τίνες σε δόξαι, φίλτατ' ἀνθρώπων πατρί,
στροβοῦσιν; ἴσχε, μὴ φοβοῦ, νικῶν πολύ.
ΟΡ. οὐκ εἰσὶ δόξαι τῶνδε πημάτων ἐμοί·
σαφῶς γὰρ αἵδε μητρὸς ἔγκοτοι κύνες.
ΧΟ. ποταίνιον γὰρ αἷμά σοι χεροῖν ἔτι·
ἐκ τῶνδέ τοι ταραγμὸς εἰς φρένας πίτνει.

1042 cf. ad Ag. 1282 **1049–50** Tz. sch. Epist. p. 159.2 L.

---

postposito 1040 τάδ' – λέγω) et Rose (καὶ μαρτ. μοι Μεν. ⟨ὅταν μόληι | κείνωι τε φράζειν ὡς⟩ ἐπ. κακά, | ⟨χὡς τὼ μὲν οὕτω κεῖσθον ἐνδίκωι μόρωι,⟩ | ἐγὼ δ' κτλ.) post **1042** lac. stat. Dind.[12]: ⟨πατρός τ' ἀμύντωρ εἰμὶ καὶ μητροκτόνος⟩ Heyse, cf. Ag. 1281 sq. **1044–7** choro trib. Portus[1]: nulla nota **1044** εὖ γε Portus[1] τε πράξασ μηδ'ἐπιζεύχθη M: corr. Heath **1045** φῆμαι πονηραὶ M: corr. Stanley[1] (φήμᾳ), Heath: φήμαις πονηραῖς Aur.[3] **1046** ἠλευθέρωσας Blomf.[13] ἀργείων Mc[a]: -ην M: -αν Porson[1] **1047** δοιοῖν M[a] **1048** σμοιαὶ (cf. Ag. 639) West[6] 198: δμωαὶ (84) M **1049** φαϊο- West[2] 100: φαιο- M Tz. **1050** δεινοῖς Tz. ἂν μείναιμ' Tz.: ἀμμείνοιμ' M **1052** στροβῶσιν M[a] φόβου νικῶ Porson[1], [6]160, cf. Eum. 88 (deinde πάνυ F. W. Schmidt 92): φόβωι νικῶ, πόδα Burges[9] 62 **1054** σαφεῖς Burges l. c. **1055** χεροῖν M ἔπι Bourdelot **1056** τοῦδε Pauw σοι Hermann[32]: τις Burges l. c. πιτνεῖ M: corr. Blomf.[13]

ΟΡ. ἄναξ Ἄπολλον, αἵδε πληθύουσι δή,
κἀξ ὀμμάτων στάζουσι νᾶμα δυσφιλές.
ΧΟ. εἷς σοι καθαρμός· Λοξίας δὲ προσθιγὼν
ἐλεύθερόν σε τῶνδε πημάτων κτίσει.
ΟΡ. ὑμεῖς μὲν οὐχ ὁρᾶτε τάσδ', ἐγὼ δ' ὁρῶ·
ἐλαύνομαι δὴ κοὐκέτ' ἂν μείναιμ' ἐγώ.
ΧΟ. ἀλλ' εὐτυχοίης, καί σ' ἐποπτεύων πρόφρων
θεὸς φυλάσσοι καιρίοισι συμφοραῖς.

— ὅδε τοι μελάθροις τοῖς βασιλείοις
τρίτος αὖ χειμὼν πνεύσας γονίας ἐτελέσθη.
παιδοβόροι μὲν πρῶτον ὑπῆρξαν
μόχθοι τάλανες {τε Θυέστου}·
δεύτερον ἀνδρὸς βασίλεια πάθη,
λουτροδάϊκτος δ' ὤλετ' Ἀχαιῶν πολέμαρχος ἀνήρ·
νῦν δ' αὖ τρίτος ἦλθέ ποθεν σωτήρ – ἢ μόρον εἴπω;
ποῖ δῆτα κρανεῖ, ποῖ καταλήξει
μετακοιμισθὲν μένος Ἄτης;

1072 cf. Hsch. π 2758

1057 et **1061** inter se trai. Garvie[5] πληθύουσαι M: corr. Turn. 1058 στάζουσιν αἷμα (1055) M et fort. Σ Eum. 52b/54: corr. Burges l.c. cf. Eum. 54 1059 εἷς σόι Erfurdt[3?]: εἰσσ'ό M^{c}, εἴσω M^{a}: οἶσθ' οὗ Wieseler[0] Λοξίας Aur.[3]: λοξίου M προσθίγων M: corr. Blomf.[13] 1062 δὴ West[2] 100: δὲ M ἀμμείναιμ' M: corr. Rob. 1067 πνεούσᾱσ M: corr. Scal.[2] γονίας Σ^{λ} M: πονίας Blomf.[13]: φονίας Pauw. cf. Radt ad fr. 130 1068 παιδοβόροι Aur.[3], cf. Ag. 1512: παιδόμοροι M 1069 τάλανός γε Θ. Aur.[3] (-ός τε Wil.[11]) τε Θυέστου del. Hermann[7] 261, [9]31/112 1073 δ' susp. West[7] σωτῆρ' Aur.[3] 1075 sq. μεταλήξει κατακοιμισθὲν Lobel[3] (κατακ. iam Franz) μέγα κοιμ. Valckenaer[1] ad Pho. 1576

CANTICORVM METRA

Siglis utor his:

$\bar{\times}$	syllaba longa in loco ancipiti
⏖	duae breves ex resolutione in loco principi
$\ddot{-}$	longa in loco bicipiti
|	finis vocabuli
‖	finis periodi
‖|	finis strophae
:| :‖	accedit pausa syntactica
⁀	zeugma, i. e. vitatur finis vocabuli
∫	vocabulum una syllaba transgreditur colorum iuncturam
: :	mutatio personae
~	respondet stropha antistropho
!	exclamatio (extra metrum)
∧	($ia_{\wedge}$, $da_{\wedge}$, etc.) metrum seu versus catalecticus
+	(δ^{+}, io^{+}) metrum seu versus hypercatalectus
an	metrum anapaesticum
ar	versus aristophaneus
ar^{d}	versus aristophaneus dactylo auctus (ar^{2d} = duobus dactylis auctus)
ch	choriambus
cr	creticus
δ	dochmius
d/D	– ∪ ∪ – / – ∪ ∪ – ∪ ∪ –
D^{2}/D^{3}	– ∪ ∪ – ∪ ∪ – ∪ ∪ – / – ∪ ∪ – ∪ ∪ – ∪ ∪ – ∪ ∪ –
$_{\wedge}D$	∪ ∪ – ∪ ∪ –
da	dactyli
$da_{\wedge\wedge}$	dactyli cum brachycatalexi (...– ∪ ∪ –)
dod	dodrans
$dod^{\cdot\cdot}$	dodrans inversus (– × – ∪ ∪ –)
e/E	in dactylo-epitritis cola – ∪ – / – ∪ – × – ∪ –
E^{2}	– ∪ – × – ∪ – × – ∪ –

gl	versus glyconeus
¨gl	versus glyconeus cum anaclasi (= ch ia)
hag	versus hagesichoreus
hag^{c}	versus hagesichoreus choriambo auctus
hδ	hypodochmius
hex	hexameter dactylicus
hi	versus hipponacteus
ia	metrum iambicum ($_{\wedge}$ia / ia$_{\wedge}$ / $_{\wedge}$ia$_{\wedge}$ = – ∪ –̣ / ∪ – – / – – pro metro iambico)
io	metrum ionicum
$2io^{\div}$	dimeter ionicus anaclasticus (= versus anacreonteus)
ith	versus ithyphallicus
kδ	dochmius kaibelianus
lec	lecythium
mol	molossus
pe	penthemimeres
ph	versus pherecrateus
tl	versus telesilleus
tl¨	versus telesilleus cum anaclasi (× – × – ∪ ∪ –)
tr	metrum trochaicum

Praeter opera in indice criticorum memorata citantur etiam:

Dale	A.M. Dale, Metrical Analyses of Tragic Choruses, BICS Suppl. 21.1–3, 1971–83
Dale CP	eadem, Collected Papers, Cambr. 1969
Dale LM^{2}	eadem, The Lyric Metres of Greek Drama, ed. alt., Cambr. 1968
West GM	M.L. West, Greek Metre, Oxford 1982

ΧΟΗΦΟΡΟΙ

22	32	⏑ – ⏑ – ⏑ – ⏑ –|	2ia|
23	33	⏑ – ⏑ – ⏑|– ⏑ – ⏑ – ⏑ –|	3ia|
24/5	34/5	⏑ – ⏑ – ⏒ – ⏑ – ⏒| ⏖ ⏑| ⏖ ⏑| ⏖ ⏑ –|	4ia|
26	36	⏑ – – – ⏑ – – ⏑ – ⏑ – ⏑ –|	ia$_\wedge$ $_\wedge$ia lec|
27	37	⏑ – ⏑ –|⏑ – ⏑ –|	2ia|
28	38	⏑ ⏖ ⏑ ⏖|⏑ – ⏑ –|	2ia|
29/30	39/40	– ⏔ – ⏔ –|⏔ – ⏑ ⏑ – –|	5da$_\wedge$ |
31	41	– ⏑ – ⏑ – ⏑ –|||	lec |||

42/3	54/5	⏒ – ⏑ ⏖| ⏑ ⏖ ⏑| ⏖ ⏑ – ⏑ – ||	3ia ||
44/5	56/7	⏑ – – ⏑ – ⏑ – ⏑ – ⏑ – –|	ia$_\wedge$ ia pe|
46/7	58/9	– ⏑ – ⏑ – ⏑ – –|⏑ – ⏑ – ⏑ –|	lec∫lec|
48	60	⏑ – ⏑ – ⏑ – ⏑|– ⏑ – ⏑ – ||	3ia ||
49	61	⏑ – ⏑ – ⏑ – ⏑ – ||	2ia ||
50	62	⏑ – ⏑ – ⏑ – ⏑ –|	2ia|
51	63	⏑ – ⏑ – ⏑ – ⏑ –|	2ia|
52	64	⏑ – ⏑ – – ⏑ ⏑ –|	ia ch|
53	65	– ⏑ – ⏑ ⏑ – –|||	ph |||

44/5~56/7] vel δ 2ia$_\wedge$ \|

66	71	⏑ – ⏑ – ⏑ – ⏑ – ⏑ – ⏑ –|	3ia|
67	72	⏑ – ⏑ – ⏑ – ⏑|– ⏑ – ⏑ – ||	3ia ||
68	73	{ – ⏔ – ⏔ –| ⏖ ⏑ – ⏑ – ⏑ –	D| lec
69	74	– ⏑ – ⏒ – ⏑ –|||	lec |||

68~73] vel x̄ – – x̄ –\| = δ\|

	75	⏑ – ⏑ – – ⏑ – – ⏑ –|	ia $_\wedge$ia $_\wedge$ia|
	76	⏑ – ⏑ – – ⏑ – ⏑ – –|⏑ – –|	ia $_\wedge$ia ia$_\wedge$|ia$_\wedge$ |
	77	x̄ ⏖ ⏑ – ⏑ – – ||	2ia$_\wedge$ ||
	78	⏑ – ⏑ – – ⏑ –|– ⏑ –|	ia $_\wedge$ia| $_\wedge$ia|

	79	∪ – – – ∪ –|∪ – ∪ –|	ia$_{\wedge}$ lec|
	80	∪ – ∪ –|∪ – – ‖	2ia$_{\wedge}$ ‖
	81	∪ – –|∪ – ∪ –|	ia$_{\wedge}$ | ia|
	82	∪ – –|– ∪ –|∪ – –|	ia$_{\wedge}$ | ith|
	83	∪ – –|– ∪ –|∪ – ∪ – ‖|	ia$_{\wedge}$ | lec ‖|
	152	?– ⏖ ⏖ ∪ ⏖|	δ|
	153	⏖ ∪ –|– ∪ –|	cr|cr|
	154	∪ ⏖ ∪ ⏖| ×̄ – ∪ –|	ia|ia|
	155	∪ ⏖ ∪ ⏖|∪ – ∪ –|	ia|ia|
	156	∪ ⏖ – ∪ –|	δ|
	157	∪ ⏖ – ∪ –|	δ|
	158	∪ – – ∪ – ∪ – – ∪ – ‖	2δ ‖
	159	∪ ⏖ ⏖ ∪ – ‖	! = δ ‖
	160	∪ – – ∪ – ∪ – ⟨–⟩ ∪ –|	2δ|
	161	∪ ⏖ – ∪ –|∪ ⏖ – ∪ –|	δ|δ|
	162	∪ – – ∪ –|∪ – – ∪ –|	δ|δ|
	163	∪ ⏖ – ∪ – ∪ – – ∪ – ‖|	2δ ‖|
315	332	– ∪ ∪ – ∪ ∪ – ∪ –|	::dod^{d}|
316	333	⏖ ∪ – ∪ – – ‖	ith ‖
317	334	∪ – ?⏕ ∪ ∪ – ∪ –|	gl|
318	335	– ∪ ∪ – ∪ – – : ‖	ar ‖
319/20	336/7	∪ – ∪ ∪ – ∪ – –|∪ ∪ – ∪ – –|	tl∫ar|
321	338	∪ – – ∪ ∪ – ∪ –|	gl|
322	339	– ∪ ∪ – ∪ – – ‖|	ar ‖|
323/4	354/5	∪ – ∪ – ∪|– ∪ – ∪ – ∪ –	::3ia ∫
325	356	–|∪ – ∪ ∪ – ∪ –|	gl|
326	357	– ⏒ – ∪ ∪ – – ‖	ph ‖
327	358	∪ ∪ – ∪ –|∪ – –|	2io$^{\div}$ |
328	359	∪ ∪ – ∪ –|∪ – –|	2io$^{\div}$ |
329	360	∪ ∪ – ∪ –|∪ – –|	2io$^{\div}$ |
330	361	∪ ∪ – ∪ –|∪ – –|	2io$^{\div}$ |
331	362	∪ – – ∪ ∪ – ∪ – – ‖|	hi ‖|
345	363	– ∪ ∪ – ∪ –|	::dod|
346	364	– ∪ – ∪ ∪ – ∪ –|	gl|
347	365	∪ – – – ∪ – ∪ – –|	ia$_{\wedge}$ ith|

348	366	∪ – ∪ – – ∪ – ∪ – – |	ia ith |
349/50	367/8	∪ – – ∪ – – ∪ – – ∪ – – |	ia$_\wedge$ ia$_\wedge$ ia$_\wedge$ ia$_\wedge$ |
351	369	?⏓ – ∪ ∪ – ∪ ∪ – – ‖	⏓ D – ‖
352	370	∪ – ∪ ∪ – ∪ – – |	hag |
353	371	– ∪ ∪ – ∪ – – ‖|	ar ‖|
380	394	– ∪ ∪ – ∪ ∪ – |	::D |
381	395	– ∪ ∪ – ∪ ∪ – ‖	D ‖
382	396	– – | ∪ – ∪ – – – ‖	$_\wedge$ia$_\wedge$ | ia $_\wedge$ia$_\wedge$ ‖
383	397	– ∪ ∪ – ∪ – – ‖	ar ‖
384	398	∪ – – ∪ ∪ – ∪ – – |	hi |
385	399	– ∪ ∪ – ∪ ∪ – ∪ – – ‖|	ar^d ‖|
386	410	∪ – – – ∪ – ∪ – ∪ –	::ia$_\wedge$ lec
387	411	– ∪ ∪ – ∪ – – |	ar |
388	412	– ∪ ∪ – | ∪ – – |	ar |
389	413	– ∪ ∪ – | ∪ – –	ar ∫
390	414	– | ∪ ∪ – ∪ – – ‖	ar ‖
391	415	∪ – – | ∪ – – ∪ – – |	ia$_\wedge$ | ia$_\wedge$ ia$_\wedge$ |
392	416	– ∪ ∪ – – ∪ ∪ – |	2ch |
393	417	– ∪ – ∪ – ∪ – ‖|	lec ‖|
405	418	∪ – – – ∪ – ∪ – ∪ – ‖	::ia$_\wedge$ lec ‖
406	419	∪ ⏖ ⏖ ∪ – ∪ – ⏖ ∪ – |	2δ |
407	420	∪ – ∪ – – | ∪ – ∪ – ∪ – |	ia ∫ lec |
408	421	∪ – ∪ – – ∪ – |	ia $_\wedge$ia |
409	422	∪ – ∪ – – ∪ – ∪ – – ‖|	ia ith ‖|
423	444/5	∪ – ∪ – ⏓ | ⏖ ∪ – ∪ – ∪ – |	::3ia |
424	446	∪ – ∪ – ∪ – ∪ – ‖	2ia ‖
425	447	∪ – ∪ – ⏓ | ⏖ ∪ – ∪ – ∪ – |	3ia |
426	448	∪ – ∪ ⏖ ∪ – ∪ ⏖ ∪ – ∪ – ‖	3ia ‖
427	449	∪ – ∪ ⏖ ∪ – | ∪ – ∪ – ∪ – |	3ia |
428	450	∪ – ∪ – – | ∪ – ∪ – ∪ – ‖|	ia ∫ lec ‖|
429	451	∪ – ∪ – – ∪ –	::ia $_\wedge$ia
430	452	∪ – ∪ – ⏓ | – ∪ – ∪ – ∪ – |	3ia |
431	453	∪ – ∪ – – ∪ – |	ia $_\wedge$ia |
432	454	∪ – ∪ – – ∪ – |	ia $_\wedge$ia |
433	455	∪ – ∪ – – ∪ – ∪ – – ‖|	ia ith ‖|

434 439 ∪ – ∪ – –|∪ – ∪ – –| ::ia∫ith|
435 440 ∪ – ∪ – – ∪ – ∪ – – || ia ith||
436 441 ∪ – ∪ – – ∪ – || ia $_{\wedge}$ia||
437 442 ∪ – ∪ – – ∪ – : || ia $_{\wedge}$ia||
438 443 ∪ – ∪ – – ∪ – ∪ – – ||| ia ith|||

456 461 ΟΡ. ∪ – ∪ –|– ∪ – ∪ – ∪ – || ::ia|lec||
457 462 ΗΛ. ∪ – ∪ – – ∪ – ∪ – ∪ – || ::ia lec||
458 463 ΧΟ. ∪ – ∪ – – ∪ – ∪ – ∪ – || ::ia lec||
459 464 ∪ – ∪ – ∪ – ∪ – || 2ia||
460 465 – ∪ ∪ – ∪ – – ||| ar|||

466 471 – ∪ ∪ – ∪ –| dod|
467 472 – ∪ ∪ – ∪ – –| ar|
468 473 – ∪ ∪ – ∪ – – || ar||
469 474 ∪ – – ∪ ∪ – ∪ – – || hi||
470 475 ∪ – – ∪ ∪ – ∪ – – ||| hi|||

585 594 – ∪ – – ∪ – $_{\wedge}$ia $_{\wedge}$ia
586 595 – ∪ – ∪ – ∪ –| lec|
587 596 – ∪ – – ∪ –| $_{\wedge}$ia $_{\wedge}$ia|
588 597 – ∪ –|– – –| $_{\wedge}$ia|mol|
589 598 ∪ – ∪ – – ∪ – ∪ – ∪ –| ia lec|
590 599 – ∪ –|∪ – ∪ –| lec|
591/2 600/1 – ∪ ∪ – ∪ ∪ – ∪ ∪ – ∪ ∪ – ⏓| 5da$_{\wedge}$ |
593 602 – ∪ – ∪ – ∪ – ||| lec|||

603 613 { – –|– ∪ – ∪ – ∪ –| $_{\wedge}$ia$_{\wedge}$ | lec|
{ – ∪ –| $_{\wedge}$ia|
604 614 ∪ – – x̄ – ∪ – ia$_{\wedge}$ ia
605 615 – ∪ – ∪ – ∪ –| lec|
606 616 – ∪ ⏓ || $_{\wedge}$ia||
607 617 – ∪ – ∪̄ – ∪ – lec ∫
608 618 –|∪ – – ∪ – – ∪ – x̄ | $_{\wedge}$ia $_{\wedge}$ia tr|
609 619 – ∪ – ∪ ∪ – ∪ –| gl|
610 620 – ∪ – ∪ ∪ – – || ph||
611 621 ⏓ ∪̄ – ∪ ∪ – ∪ –| gl|
612 622 – ∪ – ∪ ∪ – – ||| ph|||

604∼614] vel δ$_{\wedge}$ $_{\wedge}$ia (cf. 640/1); vel 603/4 $_{\wedge}$ia$_{\wedge}$ | lec|hδ|δ

623	631	⏑ – ⏑ – – ⏑ – | ⏑ – ⏑ – |	ia lec |
624	632	⏑ – ⏑ – – ⏑ – ⏑ – ⏑ –⁀	ia lec
625	633	– ⏑ – ⏑ – ⏑ – |	lec |
626	634	⏑ – ⏑ – – ⏑ – ⏑ – ⏑ – |	ia lec |
627	635	⏑ – ⏑ – – ⏑ – |	ia $_\wedge$ia |
628	636	⏑ – ⏑ – – ⏑ – ⏑ – ⏑ – ‖	ia lec ‖
629	637	⏑ – ⏑ – – ⏑ – ⏑ – ⏑ – |	ia lec |
630	638	⏑ – – – ⏑ – ⏑ – – ‖|	ia$_\wedge$ ith ‖|
639	646	⏑ – ⏑ – ⏑ – ⏑ – |	2ia |
640	647	⏑ – – – |	δ$_\wedge$ |
641	648	– ⏑ – ⏑ – – ‖	ith ‖
642	649	⏑ – ⏑ – ⏑ – ⏑ – |	2ia |
643	650	– ⏑ – | ⏑ – ⏑ – |	lec |
644	651	⏑ – ⏑ – | ⏑ – ⏑ –	ia | ia
645	652	– ⏑ – ⏑ – – ‖|	ith ‖|
783	794	– ⏑ – – ⏑ – – ⏑ –	$_\wedge$ia $_\wedge$ia $_\wedge$ia
784	795	– ⏑ – ⏑ – ⏑ – |	lec |
785	796	– ⏑ – – ⏑ – |	$_\wedge$ia $_\wedge$ia |
786	797	{ – ⏑ – ⏑ – ⏑ – |	lec |
		– ⏑ ⏑ – ⏑ – : ‖	dod (= δ) ‖
787	798	⏖ ⏑ – | ⏑ ⏕ ⏕ ⏑ – |	cr | δ |
788	799	– ⏑ ⏑ – ⏑ – – ‖|	ar ‖|
789	826	⏑ ⏑ – – | ⏑ ⏑ – – | ⏑ ⏑ – – |	3io |
790/1	827/8	⏑ ⏑ – – | ⏑ ⏑ – – | ⏑̄ ⏑ – – |	3io |
792	829	?⏕̄ ⏑ – ⏑̄ – ⏑ –	lec
793	830	– ⏑ ⏑ – ⏑ – – ‖|	ar ‖|
800	812	– ⏑ – ⏑ – ⏑ – |	lec |
801	813	– ⏑ – – | ⏑ – ⏑ – ⏑ ⏓ ‖	$_\wedge$ia ∫ lec ‖
802	814	– ⏑ – ⏑ – ⏑ – : ‖	lec ‖
803	815	⏖ ⏑ – ⏑ – ⏑ – x̄ |	2tr | } = 4tr$_\wedge$ ‖
804	816	– ⏑ – ⏑ – ⏑ – ‖	lec ‖ }
805	817	– – | – ⏑ – ⏑ – ⏑ – |	$_\wedge$ia$_\wedge$ | lec |
806	818	⏑ – ⏑ – | – ⏑ – ⏑ – ⏑ – ‖|	ia | lec ‖|

	807	⏖ ⏑ –|⏖ ⏑ –|⏑ ⏑ – –|	cr|cr|io|
	808	⏖ ⏑ –|⏖ ⏑ –|⏑ ⏑ – –|	cr|cr|io|
	809	– ⏑ ⏑ – ⏑ ⏑ –|	D|
	810	– ⏑ ⏑ –|⟨–⟩ ⏑ ⏑ –|	ch|ch|
	811	– ⏑ ⏑ – ⏑ ⏑ –|⏑ – –|||	D|ia∧ |||
819	831	– ⏑ – – ⏑ –|	∧ia ∧ia|
820	832	– ⏑ – ⏑ – ⏑ –|	lec|
821	833	– ⏑ – ⏑ – ⏑ –|	lec|
822	834	– ⏑ – – ⏑ – – ⏑ –|	∧ia ∧ia ∧ia|
823	835	⏒ – ⏑ –|– ⏑ – ||	ia| ∧ia ||
824	836	⏖ ⏑ – – ⏑ – ⏑ – ⏑ –	∧ia lec
825	837	– ⏑ – ⏒ – ⏑ – |||	lec |||
	869	⏑ – ⏖ ⏑ – ||	δ ||
	870	⏑ ⏖ – ⏑ ⏓ ||	::δ ||
	871	– ⏑ –|– ⏑ – – ⏑ –|||	3cr |||
935	946	⏑ ⏖ – ⏑ –|?⏓ ⏖ – ⏑ –|	δ|δ|
936	947	⏑ ⏖ – × – :||	δ ||
937	948	⏑ ⏖ – ⏑ –|⏑ ⏖ – ⏑ –|	δ|δ|
938	949	⏑ – ⏑ –|⏑ – ⏑ –|	2ia|
939	950	⏑ ⏖ – ⏑ –|	δ|
940	951	⏑ – ⏑ – – ⏑ –|	ia ∧ia|
941	952	⏑ ⏖ – ⏑ – ⏑ – – ⏑ –|||	2δ |||
	942	⏑ ⏖ – ⏑ –|– ⏖ – ⏑ –|	δ|δ|
	943	⏑ ⏖ – ⏑ –|– ⏖ – ⏑ –|	δ|δ|
	944	⏖ ⏑ – ⏑ – ⏑ –|	lec|
	945	⏑ – – ⏑ –|||	δ |||
953	965	⏓ ⏖ – ⏑ –|⏑ ⏕ – ⏑ –|	δ|δ|
954	966	⏑ ⏖ – ⏑ –|	δ|
955	967	⏑ ⏖ – ⏑ – ⏑ ⏖ ⏖ ⏑ –|	2δ|
956	968	⏓ ⏖̄⏑̄ – ⏑ – – ⏖ – ⏑ – :|	2δ|
957	969	⏑ – – ⏑ – – (⏑ ⏑ – ⏑ –)|	2δ (?)|
958	970	⏑ – – ⏑ –|	δ|
959/60	971/2	⏓ ⏖̄⏑̄ – ⏑ – ⏑ – – ⏑ –|||	2δ |||

961	⏑ ⏑⏑ – ⏑ – | ⏑ ⏑⏑ – ⏑ – |	δ | δ |
962	⏑ ⏑⏑ – – :‖	$δ_{\wedge}$ ‖
963	⏑ ⏑⏑ – ⏑ – | ⏑ ⏑⏑ – ⏑ – |	δ | δ |
964	⏑ – ⏑ – | ⏑ – ⏒ ‖|	$2ia_{\wedge}$ ‖|

AESCHYLI TRAGOEDIAE

CVM INCERTI POETAE PROMETHEO

EDIDIT
MARTIN L. WEST

1990. LXXXVI, 508 pages. 13 x 19,8 cm. Cloth DM 195.–
Bibliotheca Teubneriana (BT) 1013

This edition is the first to be based on full knowledge and analysis of the manuscript tradition down to the fourteenth century. Detailed collations of forty manuscripts have been used, fourteen more than were available to the last editor, D. L. Page. Although the tradition is pervasively contaminated, it has proved possible to sort the manuscripts into families, and to form a clearer picture of the activities of the Byzantine scholars.
The contributions of textual criticism since the time of the early humanists have been carefully sifted. Many emendations have been found to be wrongly assigned; in particular, Auratus' reputation turns out to have been inflated by wholesale misattribution, at the expense of the lesser-known Franciscus Portus. The ending of one of Aeschylus' famous odes in praise of Zeus is perfected by an incontrovertible nineteenth-century correction now rescued from a century of total oblivion; and very many other passages benefit from the editor's thorough and careful reconsideration. A feature of the critical apparatus is that, wherever possible, it indicates the place of publication of each conjecture mentioned.
The long Praefatio contains, besides an account of the manuscripts and other sources for the text, a compendium of Aeschylean morphology and prosody, with detailed discussion of orthographical questions. The text and apparatus are accompanied by a citations register and followed by metrical analyses of the lyric portions.

MARTIN L. WEST

TEXTUAL CRITICISM AND EDITORIAL TECHNIQUE

APPLICABLE TO GREEK AND LATIN TEXTS

1973. 155 pages. 13,7 x 20,5 cm
Paperback DM 39.–. Cloth DM 54.–

B.G. TEUBNER STUTTGART